DAS BUCH Z DER ARISTOTELISCHEN METAPHYSIK BEARBEITET VON E. ESSEN

DAS BUCH Z

DER

ARISTOTELISCHEN METAPHYSIK

BEARBEITET

VON

E. ESSEN.

CÖSLIN 1863.
IN COMMISSION BEI C. G. HENDESS.

Die vorliegende Arbeit ist auf folgende Art entstanden: der Text der Brandis'schen Ausgabe ist zunächst in Absätze zerlegt, von denen jeder ungefähr eilf Zeilen einnimmt, diese sind dann nach Gutdünken geordnet, und die einzelnen Sätze derselben auf mannigfache Art umgestellt.

Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρό- 1
τερον ἐν τοῖς περὶ τοῦ ποσαχῶς· σημαίνει γὰρ τὸ μὲν
τί ἐστι καὶ τόδε τι, τὸ δὲ ὅτι ποιὸν ἢ ποσὸν ἢ τῶν
ἄλλων ἕκαστον τῶν οὕτω κατηγορουμένων. τοσαυταχῶς
δὲ λεγομένου τοῦ ὄντος φανερὸν ὅτι τούτων πρῶτον ὂν
τὸ τί ἐστιν ὅπερ σημαίνει τὴν οὐσίαν. ὅταν μὲν γὰρ
εἴπωμεν ποῖόν τι τόδε, ἢ ἀγαθὸν λέγομεν ἢ καλόν, ἀλλ'
οὐ τρίπηχυ ἢ ἄνθρωπον, ὅταν δὲ τί ἐστιν, οὐ λευκὸν
οὐδὲ θερμὸν οὐδὲ τρίπηχυ ἀλλὰ ἄνθρωπον ἢ θεόν. τὰ
δ' ἄλλα λέγεται ὄντα τοῦ οὕτως ὄντος τὰ μὲν ποσότητας
εἶναι, τὰ δὲ ποιότητας τὰ δὲ πάθη, τὰ δὲ ἄλλο τι τοι-
οῦτον. διὸ κἂν ἀπορήσειέ τις, πότερον τὸ βαδίζειν καὶ 2
τὸ ὑγιαίνειν καὶ τὸ καθῆσθαι ἕκαστον αὐτῶν ὂν ἢ μὴ
ὄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁτουοῦν τῶν τοιούτων.
οὐθὲν γὰρ αὐτῶν ἐστιν οὔτε καθ' αὑτὸ πεφυκὸς οὔτε
χωρίζεσθαι δυνατὸν τῆς οὐσίας, ἀλλὰ μᾶλλον, εἴπερ †
τῶν ὄντων τι, τὸ βαδίζον καὶ τὸ καθήμενον καὶ τὸ ὑγιαῖ-
νον. ταῦτα δὲ μᾶλλον φαίνεται ὄντα, διότι ἐστί τι τὸ
ὑποκείμενον αὐτοῖς ὡριομένον· τοῦτο δ' ἐστὶν ἡ οὐσία,
ὅπερ ἐμφαίνεται καθ' ἕκαστον † ἐν τῇ κατηγορίᾳ τῇ
τοιαύτῃ· τὸ ἀγαθὸν γὰρ ἢ τὸ καθήμενον οὐκ ἄνευ τού-
του λέγεται. δῆλον οὖν ὅτι διὰ ταύτην κἀκείνων ἕκαστόν 3
ἐστιν, ὥστε τὸ πρώτως ὂν καὶ οὐ τοδὶ † ὂν ἀλλ' ὂν ἁ-
πλῶς ἡ οὐσία ἂν εἴη. πολλαχῶς μὲν οὖν λέγεται τὸ
πρῶτον· ὅμως δὲ πάντως ἡ οὐσία πρῶτον καὶ λόγῳ καὶ
γνώσει καὶ χρόνῳ. τῶν μὲν γὰρ ἄλλων κατηγορουμένων

οὐθὲν χωριστόν, αὕτη δὲ μόνη. καὶ τῷ λόγῳ δὲ τοῦτο
πρῶτον· ἀνάγκη γὰρ ἐν τῷ ἑκάστου λόγῳ τὸν τῆς οὐσίας
ἐνυπάρχειν. καὶ εἰδέναι τότ' οἰόμεθα ἕκαστον μάλιστα,
ὅταν τί ἐστιν ὁ ἄνθρωπος γνῶμεν ἢ τὸ πῦρ, μᾶλλον ἢ
τὸ ποιὸν ἢ τὸ ποσὸν ἢ τὸ ποῦ [ἐπεὶ καὶ αὐτῶν τούτων
τότε ἕκαστον ἴσμεν, ὅταν τί ἐστι τὸ ποσὸν ἢ τὸ ποιὸν
4 γνῶμεν]. καὶ δὴ καὶ τὸ πάλαι τε καὶ νῦν καὶ ἀεὶ ζητού-
μενον καὶ ἀεὶ ἀπορούμενον, τί τὸ ὄν, τοῦτό ἐστι τίς ἡ
οὐσία. τοῦτο γὰρ οἱ μὲν ἓν εἶναί φασιν, οἱ δὲ πλείω ἢ
ἕν, καὶ οἱ μὲν πεπερασμένα, οἱ δὲ ἄπειρα. διὸ καὶ ἡμῖν
καὶ μάλιστα καὶ πρῶτον καὶ μόνον, ὡς εἰπεῖν, περὶ τοῦ
οὕτως ὄντος θεωρητέον τί ἐστιν. Δοκεῖ δ' ἡ οὐσία ὑπ-
άρχειν φανερώτατα μὲν τοῖς σώμασι· διὸ τά τε ζῷα καὶ
τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν οὐσίας εἶναί φαμεν, καὶ τὰ
φυσικὰ σώματα οἷον πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ τῶν τοι-
ούτων ἕκαστον καὶ ὅσα ἢ μόρια τούτων ἢ ἐκ τούτων
ἐστίν, ἢ ἐνίων ἢ πάντων, οἷον ὅ τε οὐρανὸς καὶ τὰ μόρια
5 αὐτοῦ, ἄστρα καὶ σελήνη καὶ ἥλιος. πότερον δὲ αὗται
μόναι οὐσίαι εἰσὶν ἢ καὶ ἄλλαι, ἢ τούτων τινὲς ἢ καὶ
ἄλλων, ἢ τούτων μὲν οὐθὲν ἕτεραι δέ τινες σκεπτέαν·
δοκεῖ δέ τισι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια
καὶ γραμμὴ καὶ στιγμὴ καὶ μονάς, εἶναι οὐσίαι καὶ μᾶλ-
λον ἢ τὸ σῶμα καὶ τὸ στερεόν. ἔτι παρὰ τὰ αἰσθητὰ
οἱ μὲν οὐκ οἴονται εἶναι οὐθὲν τοιοῦτον, οἱ δὲ πλείω
καὶ μᾶλλον ὄντα ἀΐδια, ὥσπερ Πλάτων τά τε εἴδη καὶ
τὰ μαθηματικὰ δύο οὐσίας, τρίτην δὲ τὴν τῶν αἰσθητῶν
σωμάτων οὐσίαν. καὶ ἔνιοι † μὲν τὰ εἴδη καὶ τοὺς ἀ-
ριθμοὺς τὴν αὐτὴν ἔχειν φασὶ φύσιν τά τε ἄλλα ἐχόμενα
6 γραμμὰς καὶ ἐπίπεδα. Σπεύσιππος δὲ πλείους οὐσίας
ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης οὐσίας ἄλ-
λην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ
τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας — μέχρι
πρὸς τὴν τοῦ οὐρανοῦ οὐσίαν καὶ τὰ αἰσθητά. περὶ δὴ
τούτων τί λέγεται καλῶς ἢ μὴ καλῶς, καὶ τίνες εἰσὶν
οὐσίαι, καὶ πότερον εἰσί τινες παρὰ τὰς αἰσθητὰς ἢ οὐκ

εἰσί, καὶ αὗται πῶς εἰσί, καὶ πότερον ἔστι τις χωριστὴ
οὐσία, καὶ διὰ τί καὶ πῶς, ἢ οὐδεμία παρὰ τὰς αἰσθητάς,
σκεπτέον, ὑποτυπωσαμένοις τὴν οὐσίαν πρῶτον τί ἐστί. —

Τοιοῦτον † δὲ τρόπον μέν τινα ἡ ὕλη λέγεται, ἄλλον 7
δὲ τρόπον ἡ μορφή, τρίτον δὲ τὸ ἐκ τούτων. λέγω δὲ
τὴν μὲν ὕλην οἷον τὸν χαλκόν, τὴν δὲ μορφὴν τὸ σχῆμα
τῆς ἰδέας, τὸ δ' ἐκ τούτων τὸν ἀνδριάντα τὸν σύνολον.
— νῦν μὲν οὖν τύπῳ εἴρηται τί ποτ' ἐστὶν ἡ οὐσία, ὅτι
τὸ μὴ καθ' ὑποκειμένου, ἀλλὰ καθ' οὗ τὰ ἄλλα. δεῖ δὲ
μὴ μόνον οὕτως. οὐ γὰρ ἱκανόν. — λέγεται δ' ἡ οὐσία,
εἰ μὴ πλεοναχῶς, ἀλλ' ἐν τέτταρσί γε μάλιστα. καὶ γὰρ
τὸ τί ἦν εἶναι καὶ τὸ καθόλου καὶ τὸ γένος οὐσία δοκεῖ
εἶναι ἑκάστου καὶ τέταρτον τούτων τὸ ὑποκείμενον. τὸ
δ' ὑποκείμενόν ἐστι καθ' οὗ τὰ ἄλλα λέγεται, ἐκεῖνο δὲ
αὐτὸ μηκέτι κατ' ἄλλου. διὸ πρῶτον περὶ τούτου διο-
ριστέον. μάλιστα γὰρ δοκεῖ εἶναι οὐσία τὸ ὑποκείμενον
πρῶτον. — τούτῳ † γὰρ διαφέρει τὸ καθόλου ὑποκεί- 8
μενον τῷ εἶναι τόδε τι ἢ μὴ εἶναι. οἷον τοῖς πάθεσι
τὸ ὑποκείμενον ἄνθρωπος καὶ σῶμα τῇ ψυχῇ. πάθος
δὲ τὸ μουσικὸν καὶ λευκόν. λέγεται δὲ τῆς μουσικῆς ἐγ-
γενομένης ἐκεῖνο οὐ μουσική, ἀλλὰ μουσικόν, καὶ οὐ λευ-
κότης ὁ ἄνθρωπος ἀλλὰ λευκόν, οὐδὲ βάδισις ἢ κίνησις
ἀλλὰ βαδίζον ἢ κινούμενον ὡς τὸ ἐκείνινον †. ὅσα μὲν
οὖν οὕτω, τὸ ἔσχατον οὐσία ὡς τόδε τι οὖσα, ὅσα δὲ μὴ
οὕτως ἀλλ' εἶδός τι καὶ τόδε τι τὸ κατηγορούμενον, τὸ
ἔσχατον ὕλη καὶ οὐσία ὑλική. καὶ ὀρθῶς δὴ συμβαίνει
τὸ ἐκείνινον λέγεσθαι κατὰ τὴν ὕλην καὶ τὰ πάθη. ἄμφω
γὰρ ἀόριστα. — ὥστε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον καὶ 9
μᾶλλον ὄν, καὶ τοῦ ἐξ ἀμφοῖν πρότερον ἔσται διὰ τὸν
αὐτὸν λόγον. — αὐτό τε γὰρ τοῦτο δῆλον γίγνεται, ὅτι
καὶ ἡ ὕλη οὐσία· εἰ γὰρ μὴ αὕτη οὐσία, τίς ἐστιν ἄλλη
διαφεύγει. περιαιρουμένων γὰρ τῶν ἄλλων οὐ φαίνεται
οὐθὲν ὑπομένον. τὰ μὲν γὰρ ἄλλα τῶν σωμάτων πάθη καὶ
ποιήματα καὶ δυνάμεις, τὸ δὲ μῆκος καὶ πλάτος καὶ βά-
θος ποσότητές τινες ἀλλ' οὐκ οὐσίαι. τὸ γὰρ ποσὸν

οὐκ οὐσία, ἀλλὰ μᾶλλον ᾧ ὑπάρχει ταῦτα πρώτῳ ἐκεῖνό
10 ἐστιν ἡ οὐσία. ἀλλὰ μὴν ἀφαιρουμένου μήκους καὶ πλά-
τους καὶ βάθους οὐθὲν ὁρῶμεν ὑπολειπόμενον, πλὴν εἴ
τί ἐστι τὸ ὁριζόμενον ὑπὸ τούτων, ὥςτε τὴν ὕλην ἀνάγκη
φαίνεσθαι μόνην οὐσίαν οὕτω σκοπουμένοις. — ἐκ † μὲν
οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην
μάλιστα. ἀδύνατον δέ, καὶ γὰρ τὸ χωριστὰν καὶ τόδε
τι ὑπάρχειν δοκεῖ τῇ οὐσίᾳ. λέγω δ' ὕλην ἣ καθ' αὑτὴν
μήτε τὶ μήτε ποσὰν μήτε ἄλλο μηθὲν λέγεται οἷς ὥρισται
τὸ ὄν. ἔστι γάρ τι καθ' οὗ κατηγορεῖται τούτων ἕκα-
11 σταν, ᾧ τὸ εἶναι ἕτερον καὶ τῶν κατηγοριῶν ἑκάστῃ. τὰ
μὲν γὰρ ἄλλα τῆς οὐσίας κατηγορεῖται, αὕτη δὲ τῆς ὕλης.
ὥςτε τὸ ἔσχατον καθ' αὑτὸ οὔτε τὶ οὔτε ποσὸν οὔτε ἄλλο
οὐθέν ἐστιν, οὐδὲ δὴ αἱ ἀποφάσεις, καὶ γὰρ αὗται ὑπάρ-
ξουσι κατὰ συμβεβηκός. — διὸ τὸ εἶδος καὶ τὸ ἐξ ἀμ-
φοῖν οὐσία· δόξειεν ἂν εἶναι μᾶλλον τῆς ὕλης. τὴν μὲν
τοίνυν ἐξ ἀμφοῖν οὐσίαν, λέγω δὲ τὴν ἔκ τε τῆς ὕλης
καὶ τῆς μορφῆς ἀφετέον· ὑστέρα γὰρ καὶ δήλη· φανερὰ
δέ πως καὶ ἡ ὕλη. περὶ δὲ τῆς τρίτης σκεπτέον, αὕτη
γὰρ ἀπορωτάτη †. —

Ἐπεὶ δ' ἐν ἀρχῇ διειλόμεθα πόσοις ὁρίζομεν τὴν
οὐσίαν, καὶ τούτων ἕν τι ἐδόκει εἶναι τὸ τί ἦν εἶναι, θεω-
12 ρητέον περὶ αὐτοῦ. — καὶ πρῶτον εἴπωμεν ἔνια περὶ
αὐτοῦ λογικῶς, ὅτι ἔστι τὸ τί ἦν εἶναι † ἑκάστῳ ὃ λέγε-
ται καθ' αὑτό. οὐ γάρ ἐστι τὸ σοὶ εἶναι τὸ μουσικῷ
εἶναι· οὐ γὰρ κατὰ σαυτὸν εἶ μουσικός. ὃ ἄρα καθ'
αὑτό. οὐδὲ δὴ τοῦτο πᾶν· οὐ γὰρ οὕτως καθ' αὑτὸ ὡς
ἐπιφάνεια λευκόν, ὅτι οὐκ ἔστι τὸ ἐπιφανείᾳ εἶναι τὸ
λευκῷ εἶναι. ἀλλὰ μὴν οὐδὲ τὸ ἐξ ἀμφοῖν τὸ ἐπιφανείᾳ
λευκῇ εἶναι, διότι τι πρόςεστιν αὐτῇ, ὥςτε † εἰ τὸ ἐπι-
φανείᾳ εἶναι τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐστι καὶ τὸ ἐπι-
φανείᾳ εἶναι λείᾳ, τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ
καὶ ἓν ἔσται. ἐν ᾧ ἄρα μὴ ἐνέσται λόγῳ αὐτὸ λέ-
γοντι αὐτό, οὗτος ὁ λόγος τοῦ τί ἦν εἶναι ἑκάστῳ.
13 — — ὥςτε τὸ τί ἦν εἶναί ἐστιν οὗ ὁ λόγος ἐστὶν

ὁρισμός. ὁρισμὸς δ᾽ οὐκ ἔσται οὐδὲ τί ἦν εἶναι ἀλλ᾽ ἢ
ἂν πρώτου τινὸς ᾖ. τοιαῦτα δ᾽ ἐστὶν ὅσα λέγεται μὴ
τῷ ἄλλο κατ᾽ ἄλλου λέγεσθαι. ὅπερ † γὰρ τῷδε τί ἦν
εἶναί ἐστι τὸ τί ἦν εἶναι. ὅταν δ᾽ ἄλλο κατ᾽ ἄλλου λέ-
γηται, οὐκ ἔστιν ὅπερ τόδε τι. [οἷον ὁ λευκὸς ἄνθρωπος
οὐκ ἔστιν ὅπερ τόδε τι] εἴπερ τὸ τόδε ταῖς οὐσίαις
ὑπάρχει μόνον. ἀλλὰ λόγος μὲν ἔσται ἑκάστου καὶ τῶν
ἄλλων, τοῦ τί σημαίνει, ἐὰν ᾖ ὄνομα, ἢ τοῦ ὅτι τόδε
τῷδε ὑπάρχει ἀντὶ λόγου ἁπλοῦ καὶ ἀκριβεστέρου †. ἢ
καὶ ὁ ὁρισμὸς ὥσπερ καὶ τὸ τί ἐστι πλεοναχῶς λέγεται·
καὶ γὰρ τὸ τί ἐστιν ἕνα μὲν τρόπον σημαίνει τὴν οὐσίαν 14
καὶ τὸ τόδε τι, ἄλλον δὲ ἕκαστον τῶν κατηγορουμένων,
ποσόν, ποιὸν καὶ ὅσα ἄλλα τοιαῦτα. ὥσπερ † γὰρ τὸ
[εἰ] ἔστιν ὑπάρχει πᾶσιν ἀλλ᾽ οὐχ ὁμοίως, ἀλλὰ τῷ μὲν
πρώτως, τοῖς δ᾽ ἑπομένως, οὕτω καὶ τὸ τί ἐστιν ἁπλῶς
μὲν τῇ οὐσίᾳ, πὼς δὲ τοῖς ἄλλοις. καὶ γὰρ τὸ ποιὸν
ἐροίμεθ᾽ ἂν εἰ ἔστιν, ὥστε καὶ τὸ ποιὸν τῶν εἰ ἔστι
μὲν ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλ᾽ ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λο-
γικῶς φασί τινες εἶναι τὸ μὴ ὂν οὐχ ἁπλῶς ἀλλὰ μὴ
ὄν, οὕτω καὶ τὸ ποιόν. καὶ τὸ τί ἦν εἶναι ὁμοίως
ὑπάρξει, ὥσπερ καὶ τὸ εἰ ἔστι, πρώτως μὲν καὶ ἁπλῶς
τῇ οὐσίᾳ, εἶτα καὶ τοῖς ἄλλοις, οὐχ ἁπλῶς τί ἦν εἶναι
ἀλλὰ † ποιῷ ἢ ποσῷ τί ἦν εἶναι. δεῖ μὲν οὖν σκοπεῖν 15
καὶ τὸ πῶς δεῖ λέγειν περὶ ἕκαστον, οὐ μὴν μᾶλλόν γε
ἢ τὸ πῶς ἔχει· διὸ καὶ νῦν, ἐπεὶ τὸ λεγόμενον φανερόν.
— δεῖ γὰρ μὴ ὁμωνύμως ταῦτα φάναι εἶναι ὄντα ἢ προσ-
τιθέντας ἢ ἀφαιροῦντας †, ὥσπερ καὶ μὴ τὸ ἐπιστητὸν
ἐπιστήμην †. ἐπεὶ τό γε ὀρθόν ἐστι μήτε ὁμωνύμως
φάναι μήτε ὡσαύτως, ἀλλ᾽ ὥσπερ τὸ ἰατρικὸν τῷ πρὸς τὸ
αὐτὸ μὲν καὶ ἕν, οὐ τὸ αὐτὸ δὲ καὶ ἕν. οὐ μέντοι οὐδὲ
ὁμωνύμως· οὐδὲ γὰρ ἰατρικὸν σῶμα καὶ ἔργον καὶ σκεῦος
λέγεται οὔτε ὁμωνύμως οὔτε καθ᾽ ἕν, ἀλλὰ πρὸς ἕν.
ἀλλὰ ταῦτα μὲν ὁποτέρως τις ἐθέλει λέγειν διαφέρει
οὐθέν, ἐκεῖνο δὲ φανερὸν ὅτι ὁ πρώτως καὶ ἁπλῶς ὁρι-
σμὸς καὶ τὸ τί ἦν εἶναι τῶν οὐσιῶν ἐστίν. —

16 Ἐπεὶ † δ' ἔστι καὶ κατὰ τὰς ἄλλας κατηγορίας
σύνθετα (ἔστι γάρ τι ὑποκείμενον ἑκάστῳ οἷον τῷ ποιῷ
καὶ τῷ ποσῷ καὶ τῷ ποτὲ καὶ τῷ ποῦ καὶ τῇ κινήσει)
σκεπτέον ἆρ' ἔστι λόγος τοῦ τί ἦν εἶναι ἑκάστῳ αὐτῶν
καὶ ὑπάρχει καὶ τούτοις τὸ τί ἦν εἶναι, οἷον λευκῷ ἀν-
θρώπῳ· ἔστω δὴ ὄνομα αὐτῷ ἱμάτιον, τί ἐστι τὸ ἱματίῳ
εἶναι; τὸ δὴ λευκὸς ἄνθρωπος ἔστι μὲν λευκόν, ἀλλὰ μὴν
οὐδὲ τῶν καθ' αὑτὸ λεγομένων † οὐδὲ τοῦτο. ἢ τὸ οὐ
καθ' αὑτὸ λέγεται διχῶς, καὶ τούτου ἔστι τὸ μὲν ἐκ
προσθέσεως τὸ δὲ οὔ. τὸ μὲν γὰρ τῷ αὐτὸ ἄλλῳ προσ-
κεῖσθαι λέγεται ὃ ὁρίζεται, οἷον εἰ τὸ λευκῷ εἶναι ὁρι-
17 ζόμενος λέγοι λευκοῦ ἀνθρώπου λόγον· τὸ δὲ τῷ ἄλλο
αὐτῷ, οἷον εἰ σημαίνει τὸ ἱμάτιον λευκὸν ἄνθρωπον, ὁ
δὲ ὁρίζοι τὸ ἱμάτιον ὡς λευκόν. — ἆρα † ἔστι τί ἦν εἶ-
ναί τι ἢ ὅλως ἢ οὔ; οὐ μέντοι τί ἦν λευκῷ εἶναι ἀλλὰ τὸ
ἱματίῳ εἶναι; — ὁρισμὸς † δ' ἐστὶν οὐκ ὀνόματι λόγος
ταὐτὸ σημαίνων. πάντες γὰρ ἂν εἶεν οἱ λόγοι ὅροι. εἴη
γὰρ ἂν θέσθαι ὄνομα ὁτῳοῦν λόγῳ, ὥστε καὶ ἡ Ἰλιὰς
ὁρισμὸς ἔσται. — οὐκ ἔσται ἄρα οὐθενὶ τῶν μὴ γένους
εἰδῶν † ὑπάρχον τὸ τί ἦν εἶναι, ἀλλὰ τούτοις μόνον.
ταῦτα γὰρ δοκεῖ οὐ κατὰ μετοχὴν λέγεσθαι καὶ πάθος
18 οὐδ' ὡς συμβεβηκός. — οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων
ὁμοίως ἔστι, πλὴν οὐ πρώτως. οὐ γὰρ ἀνάγκη, ἂν τοῦτο
τιθῶμεν, διὰ τοῦτο ὁρισμὸν εἶναι, ὃ ἂν λόγῳ τὸ αὐτὸ
σημαίνῃ, ἀλλὰ τινὶ λόγῳ. τοῦτο δ' ἐὰν ἑνὸς ᾖ, μὴ τῷ
συνεχεῖ ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συνδέσμῳ, ἀλλ' ἐὰν ὁσα-
χῶς λέγεται τὸ ἕν. τὸ δ' ἓν λέγεται ὥσπερ τὸ ὄν. τὸ
δ' ὂν τὸ μὲν τόδε τι, τὸ δὲ ποσόν, τὸ δὲ ποιόν τι ση-
μαίνει. διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος καὶ ὁ-
ρισμός, ἄλλον δὲ τρόπον, καὶ τοῦ λευκοῦ καὶ οὐσίας.
Ἔχει δ' ἀπορίαν, ἐάν τις μὴ φῇ ὁρισμὸν εἶναι τὸν
ἐκ προσθέσεως † λόγον. ἐκ προσθέσεως γὰρ ἀνάγκη δη-
19 λοῦν πάνθ' ὅσα λέγεται καθ' αὑτὰ ὑπάρχειν. λέγω δ'
οἷον, ἔστι ῥὶς καὶ κοιλότης καὶ σιμότης τὸ ἐκ τοῖν δυοῖν
λεγόμενον, τῷ τόδε ἐν τῷδε. καὶ οὐ κατὰ συμβεβηκός

γε ἡ σιμότης πάθος τῆς ῥινὸς ἀλλὰ καθ' αὑτήν, οὐδ'
ὡς τὸ λευκὸν ἀνθρώπῳ, ὅτι Καλλίας ἄνθρωπος ᾧ συμβέ-
βηκε λευκῷ εἶναι, ἀλλ' ὡς τὸ ἄῤῥεν τῷ ζώῳ καὶ τὸ ἴσον τῷ
ποσῷ. καὶ ταῦτα δή ἐστιν ἐν ὅσοις ὑπάρχει ἢ ὁ λόγος
ἢ τοὔνομα, οὗ ἐστὶ τοῦτο τὸ πάθος καὶ μὴ ἐνδέχεται
δηλῶσαι χωρίς, ὥσπερ τὸ λευκὸν ἄνευ τοῦ ἀνθρώπου ἐν-
δέχεται, ἀλλ' οὐ τὸ θῆλυ ἄνευ τοῦ ζώου, ὥστε τούτων
τὸ τί ἦν εἶναι καὶ ὁ ὁρισμὸς ἢ οὐκ ἔστιν οὐθενὸς ἢ
ἔστιν ἄλλως, καθάπερ εἰρήκαμεν. ἔστι δ' ἀπορία καὶ 20
ἑτέρα περὶ αὐτῶν, εἴ τινος ἔσται ὁρισμὸς τῶν οὐχ ἁπλῶν
ἀλλὰ συνδεδυασμένων. εἰ μὲν γὰρ τὸ αὐτό ἐστι σιμὴ ῥὶς
καὶ κοίλη ῥίς, τὸ αὐτὸ ἔσται τὸ σιμὸν καὶ τὸ κοῖλον. εἰ
δὲ μὴ διὰ τὸ ἀδύνατον εἶναι εἰπεῖν τὸ σιμὸν ἄνευ τοῦ
πράγματος οὗ ἐστὶ πάθος καθ' αὑτό (ἔστι γὰρ τὸ σιμὸν
κοιλότης ἐν ῥινί) τὸ ῥῖνα σιμὴν εἰπεῖν ἢ οὐκ ἔστιν ἢ δὶς
τὸ αὐτὸ ἔσται εἰρημένον ῥὶς ῥὶς κοίλη· ἡ γὰρ ῥὶς ἡ σιμὴ
ῥὶς ῥὶς κοίλη ἔσται. διὸ ἄτοπον τὸ ὑπάρχειν τοῖς τοι-
ούτοις τὸ τί ἦν εἶναι. εἰ δὲ μή, εἰς ἄπειρον εἰσι. ῥινὶ
γὰρ ῥινὶ σιμῇ ἔτι ἄλλο ἐνέσται.

Δῆλον τοίνυν ὅτι μόνον τῆς οὐσίας ἐστὶν ὁ ὁρισμός. 21
εἰ γὰρ καὶ τῶν ἄλλων κατηγοριῶν, ἤτοι ἄλλον τρόπον
εἰσὶ ἤ, καθάπερ ἐλέχθη, πολλαχῶς λεκτέον [εἶναι] τὸν
ὁρισμὸν καὶ τὸ τί ἦν εἶναι, ὥστε ὡδὶ μὲν οὐθενὸς ἔσται
ὁρισμὸς οὐδὲ τὸ τί ἦν εἶναι οὐθενὶ ὑπάρξει πλὴν ταῖς
οὐσίαις ὡδὶ δ' ἔσται. εἰ δὲ εἰσι καὶ τούτων ὅροι οἷον
τοῦ ἀρτίου καὶ περιττοῦ, ἀνάγκη ἐκ προσθέσεως εἶναι·
οὐ γὰρ ἄνευ ἀριθμοῦ οὐδὲ τὸ θῆλυ ἄνευ τοῦ ζώου. τὸ
δ' ἐκ προσθέσεως λέγομεν. εἰ δὲ τοῦτο ἀληθές, οὐδὲ
συνδυαζομένων ἔσται οἷον ἀριθμοῦ περιττοῦ. ἀλλὰ λαν-
θάνει ὅτι οὐκ ἀκριβῶς λέγονται οἱ λόγοι, ἐν οἷς συμβαί-
νει δὶς τὸ αὐτὸ λέγειν ὥσπερ ἐν τούτοις. ὅτι μὲν οὖν 22
ἔστιν ὁ ὁρισμὸς ὁ τοῦ τί ἦν εἶναι λόγος καὶ τὸ τί ἦν
εἶναι ἢ μόνον τῶν οὐσιῶν ἐστὶν ἢ μάλιστα καὶ πρώτως
καὶ ἁπλῶς δῆλον.

Πότερον δὲ ταὐτόν ἐστιν ἢ ἕτερον τὸ τί ἦν εἶναι

καὶ ἕκαστον σκεπτέον. ἔστι γάρ τι πρὸ ἔργου πρὸς τὴν περὶ τῆς οὐσίας σκέψιν. ἕκαστόν τε γὰρ οὐκ ἄλλο δοκεῖ εἶναι τῆς ἑαυτοῦ οὐσίας, καὶ τὸ τί ἦν εἶναι λέγεται εἶναι ἡ ἑκάστου οὐσία. ἐπὶ μὲν δὴ τῶν λεγομένων κατὰ συμβεβηκὸς δόξειεν ἂν ἕτερον εἶναι, οἷον λευκὸς ἄνθρωπος ἕτερον καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι. εἰ γὰρ τὸ αὐτό, καὶ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ τὸ αὐτό. τὸ αὐτὸ γὰρ ἄνθρωπος καὶ λευκὸς ἄνθρωπος ὥς φασιν, ὥστε καὶ τὸ λευκῷ ἀνθρώπῳ καὶ τὸ ἀνθρώπῳ. ἢ οὐκ ἀνάγκη ὅσα κατὰ συμβεβηκὸς εἶναι ταὐτά. οὐ γὰρ ὡσαύτως τὰ ἄκρα γίγνεται ταὐτά. ἀλλ' ἴσως γ' ἐκεῖνο δόξειεν ἂν συμβαίνειν τὰ ἄκρα γίγνεσθαι ταὐτὰ κατὰ συμβεβηκός, οἷον ὡς δοκεῖ τὸ λευκὸν εἶναι καὶ τὸ μουσικόν.
23 — καὶ † γὰρ ᾧ συμβέβηκε λευκὸν καὶ τὸ συμβεβηκός, ὥστε κατὰ τὴν ἔκθεσιν ἀνάγκη ἕν τι εἶναι ἄμφω, οἷον τὸ λευκὸν καὶ τὸ μουσικόν. τὸ δὲ κατὰ συμβεβηκὸς λεγόμενον οὐκ ἀληθὲς εἰπεῖν ὡς τὸ αὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό· τὸ μὲν γὰρ ἀνθρώπῳ εἶναι καὶ τὸ λευκῷ ἀνθρώπῳ οὐ ταὐτό. τῷ πάθει δὲ τὸ αὐτὸ ἄτοπον. καίτοι τί κωλύει καὶ νῦν εἶναι ἔνια εὐθὺς τί ἦν εἶναι, εἴπερ οὐσία τὸ τί ἦν εἶναι; ἀλλὰ μὴν οὐ μόνον ἕν, ἀλλὰ καὶ ὁ λόγος ὁ αὐτὸς αὐτῶν. οὐ γὰρ κατὰ συμβεβηκὸς ἓν τὸ ἑνὶ εἶναι καὶ τὸ ἕν. ἔτι εἰ ἄλλο ἔσται, εἰς ἄπειρον εἶσι. τὸ μὲν γὰρ ἔσται τί ἦν εἶναι τοῦ ἑνός, τὸ δὲ τὸ ἕν. ὥστε καὶ ἐπ' ἐκείνων ἔσται ὁ αὐτὸς λόγος.
24 ἐπὶ τῶν καθ' αὑτὰ λεγομένων ἆρ' ἀνάγκη ταὐτὸν εἶναι, οἷον εἴ τινές εἰσιν οὐσίαι ὧν ἕτεραι μή εἰσιν οὐσίαι μηδὲ φύσεις ἕτεραι πρότεραι οἵας φασὶ τὰς ἰδέας εἶναί τινες. εἰ γὰρ ἔσται ἕτερον αὐτὸ τὸ ἀγαθὸν καὶ τὸ ἀγαθῷ εἶναι καὶ αὐτὸ † τὸ ὂν καὶ τὸ ὄντι, ἔσονται ἄλλαι τ' οὐσίαι καὶ φύσεις καὶ ἰδέαι παρὰ τὰς λεγομένας. καὶ πρότεραι οὐσίαι ἐκεῖναι, εἰ τὸ τί ἦν εἶναι οὐσίας ἐστί. καὶ εἰ μὲν ἀπολελυμέναι ἀλλήλων, τῶν μὲν οὐκ ἔσται ἐπιστήμη, τὰ δ' οὐκ ἔσται ὄντα (λέγω δὲ ἀπολελύσθαι, εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ, μήτε

τούτῳ τὸ εἶναι ἀγαθόν), ἐπιστήμη γὰρ ἑκάστου ἐστὶν 25
ὅταν τὸ τί ἦν εἶναι ἐκείνῳ γνῶμεν. καὶ ἐπὶ ἀγαθοῦ καὶ
τῶν ἄλλων ὁμοίως ἔχει, ὥςτε εἰ μηδὲ τὸ ἀγαθῷ εἶναι
ἀγαθόν, οὐδὲ τὸ ὄντι ὄν. ὁμοίως δὲ πάντα ἐστὶν ἢ οὐ-
θὲν τὰ τί ἦν εἶναι, ὥςτε εἰ μηδὲ τὸ ὄντι ὄν, οὐδὲ τῶν
ἄλλων οὐθέν. ἔτι ᾧ μὴ ὑπάρχει ἀγαθῷ εἶναι οὐκ ἀγα-
θόν. ἀνάγκη ἄρα ἓν εἶναι τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι,
καὶ καλὸν καὶ καλῷ εἶναι, ὅσα μὴ κατ' ἄλλο λέγεται
ἀλλὰ καθ' αὑτὰ καὶ πρῶτα. καὶ γὰρ τοῦτο ἱκανόν, ἂν
ὑπαρχῇ, κἂν μὴ εἴδη ᾖ, μᾶλλον δ' ἴσως κἂν ᾖ εἴδη. ἅμα 26
δὲ δῆλον καὶ ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι οἵας τινές φασιν
[οὐκ ἔσται τὸ ὑποκείμενον οὐσία] ταύτας [γὰρ] οὐσίας
[μὲν] ἀναγκαῖον εἶναι. ἔσονται γὰρ κατὰ μέθεξιν, † μὴ
καθ' ὑποκειμένου δέ. Ἔκ τε δὴ τούτων τῶν λόγων ἓν
καὶ ταὐτὸ οὐ κατὰ συμβεβηκὸς αὐτὸ ἕκαστον καὶ τὸ τί
ἦν εἶναι ἂν φανείη, κἂν εἴ τις ἑκάστῳ ὄνομα θεῖτο τῶν
τί ἦν εἶναι ἕτερον. ὅτι μὲν οὖν ἐπὶ τῶν πρώτων καὶ
καθ' αὑτὰ λεγομένων τὸ ἑκάστῳ εἶναι καὶ ἕκαστον τὸ
αὐτὸ καὶ ἕν ἐστι δῆλον· ἔσται γὰρ παρ' ἐκεῖνο καὶ ἄλλο.
καὶ ὅτι τὸ ἐπίστασθαι ἕκαστον τοῦτό ἐστι τὸ τί ἦν εἶναι
ἐπίστασθαι † . . . .
. . . .
ὥςτε ἔστι μὲν ὡς ταὐτόν, ἔστι δὲ ὡς οὐ ταὐτὸν τὸ τί ἦν 27
εἶναι ἵππῳ καὶ ἵππος διὰ τὸ διττὸν σημαίνειν. οἱ δὲ
σοφιστικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην φανερὸν ὅτι
τῇ αὐτῇ λύονται λύσει, καὶ εἰ ταὐτὸ Σωκράτης καὶ Σω-
κράτει εἶναι. οὐθὲν γὰρ διαφέρει οὔτε ἐξ ὧν ἐρωτή-
σειεν ἄν τις, οὔτε ἐξ ὧν λύων ἐπιτύχοι. πῶς μὲν οὖν τὸ
τί ἦν εἶναι ταὐτὸ καὶ πῶς οὐ ταὐτὸ ἑκάστῳ εἴρηται. —

Δεῖ † δ' ἐπισκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαι- 28
ρέσεις ὁρισμῶν. οὐθὲν γὰρ ἕτερόν ἐστιν ἐν τῷ ὁρισμῷ
πλὴν τό τε πρῶτον λεγόμενον γένος καὶ αἱ διαφοραί. τὰ
δ' ἄλλα γένη ἐστὶ τό τε πρῶτον καὶ μετὰ τούτου αἱ συλ-
λαμβανόμεναι διαφοραί, οἷον τὸ πρῶτον ζῷον, τὸ δ' ἐχό-
μενον ζῷον δίπουν, καὶ πάλιν ζῷον δίπουν ἄπτερον. ὁμοίως

δὲ κἂν διὰ πλειόνων λέγηται. ὅλως δ' οὐθὲν διαφέρει διὰ
πολλῶν ἢ ὀλίγων λέγεσθαι· ὥςτ' οὐδὲ δι' ὀλίγων ἢ διὰ
δυοῖν· τοῖν δυοῖν δὲ τὸ μὲν διαφορά, τὸ δὲ γένος, οἷον
τοῦ ζῶον δίπουν τὸ μὲν ζῶον γένος, διαφορὰ δὲ θάτερον.
29 εἰ οὖν τὸ γένος ἁπλῶς μή ἐστι παρὰ τὰ ὡς γένους εἴδη,
ἢ εἰ ἔστι μὲν ὡς ὕλη δ' ἐστὶν (ἡ μὲν γὰρ φωνὴ γένος
καὶ ὕλη, αἱ δὲ διαφοραὶ τὰ εἴδη καὶ τὰ στοιχεῖα ἐκ ταύ-
της ποιοῦσιν) φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν δια-
φορῶν λόγος. ἀλλὰ μὴν καὶ δεῖ γε διαιρεῖσθαι τὴν τῆς
διαφορᾶς διαφοράν· οἷον ζώου διαφορὰ τὸ ὑπόπουν·
πάλιν τοῦ ζώου τοῦ ὑπόποδος τὴν διαφορὸν δεῖ εἰδέναι
ᾗ ὑπόπουν. ὥςτ' οὐ λεκτέον τοῦ ὑπόποδος τὸ μὲν πτε-
ρωτὸν τὸ δὲ ἄπτερον, κἄνπερ λέγῃ καλῶς· ἀλλὰ διὰ τὸ
ἀδυνατεῖν ποιήσει τοῦτο· ἀλλ' ᾗ τὸ μὲν σχιζόπουν τὸ δ'
ἄσχιστον, αὗται γὰρ διαφοραὶ ποδός. ἡ γὰρ σχιζοποδία
30 ποδότης τις. καὶ οὕτως ἀεὶ βούλεται βαδίζειν ἕως ἂν
ἔλθῃ εἰς τὰ ἀδιάφορα. τότε δ' ἔσονται τοσαῦτα εἴδη
ποδὸς ὅσαιπερ αἱ διαφοραί· καὶ τὰ ὑπόποδα ζῶα ἴσα
ταῖς διαφοραῖς. † κἂν διαιρῇ τῇ οἰκείᾳ διαιρέσει, μία
ἔσται ἡ τελευταία τὸ εἶδος καὶ ἡ οὐσία· ἐὰν δὲ κατὰ
συμβεβηκός, οἷον εἰ διαιρεῖ τοῦ ὑπόποδος τὸ μὲν λευκὸν
τὸ δὲ μέλαν, τοσαῦται ὅσαι ἂν αἱ τομαὶ ὦσιν. ὥςτε
φανερὸν ὅτι ὁ ὁρισμὸς λόγος ἐστὶν ὁ ἐκ τῶν διαφορῶν,
καὶ τούτων τῆς τελευταίας κατά γε τὸ ὀρθόν, εἴπερ μὴ
δεῖ πολλάκις ταὐτὰ λέγειν ἐν τοῖς ὅροις· περίεργον γάρ.
συμβαίνει δέ γε τοῦτο, ὅταν εἴπῃ ζῶον ὑπόπουν δίπουν.
οὐθὲν γὰρ ἄλλο εἴρηκεν ἢ ζῶον πόδας ἔχον δύο πόδας
31 ἔχον. ἐὰν μὲν δὴ διαφορᾶς διαφορὰ γίγνηται, ταὐτὸ
πλεονάκις ἐρεῖ καὶ ἰσάκις ταῖς διαφοραῖς. δῆλον δ' ἂν
εἴη, εἴ τις μετατάξειε τοὺς τοιούτους ὁρισμούς, οἷον τὸν
τοῦ ἀνθρώπου λέγων ζῶον δίπουν ὑπόπουν, περίεργον γὰρ
τὸ ὑπόπουν εἰρημένου τοῦ δίποδος. εἰ δὴ ταῦτα οὕτως
ἔχει, φανερὸν ὅτι ἡ τελευταία διαφορὰ ἡ οὐσία τοῦ πράγ-
ματος ἔσται καὶ ὁ ὁρισμός. τάξις † δ' ἐστὶν ἐν τῇ οὐ-
σίᾳ πως. δεῖ γὰρ νοῆσαι τὸ μὲν ὕστερον τὸ δὲ πρότε-

ρον. περὶ μὲν οὖν τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν τοσαῦτα εἰρήσθω τὴν πρώτην, ποῖοί τινές εἰσιν. —

Τί δὲ χρὴ λέγειν καὶ ὁποῖόν τι τὴν οὐσίαν, πάλιν 32
ἄλλην οἷον ἀρχὴν ποιησάμενοι λέγωμεν. ἴσως γὰρ ἐκ
τούτων ἔσται δῆλον περὶ ἐκείνης τῆς οὐσίας ἥτις ἐστὶ
κεχωρισμένη τῶν αἰσθητῶν οὐσιῶν. ἐπεὶ οὖν ἡ οὐσία
ἀρχὴ καὶ αἰτία τίς ἐστιν, ἐντεῦθεν μετιτέον. ζητεῖται δὲ
τὸ διὰ τί ἀεὶ οὕτως, διὰ τί ἄλλο ἄλλῳ τινὶ ὑπάρχει.
δεῖ γὰρ τὸ ὅτι καὶ τὸ εἶναι ὑπάρχειν δῆλα ὄντα. λέγω
δ᾽ οἷον ὅτι ἡ σελήνη ἐκλείπει. τὶ ἄρα κατά τινος ζη-
τεῖται, διὰ τί ὑπάρχει. ὅτι δ᾽ ὑπάρχει δεῖ δῆλον εἶναι·
εἰ γὰρ μὴ οὕτως, οὐθὲν ζητεῖ. οἷον διὰ τί βροντᾷ; διὰ
τί ψόφος γίγνεται ἐν τοῖς νέφεσιν; ἄλλο † γὰρ οὕτως 33
κατ᾽ ἄλλου ἐστὶ τὸ ζητούμενον. — φανερὸν τοίνυν ὅτι
ζητεῖ τὸ αἴτιον. τοῦτο δ᾽ ἐστὶ — τί ἐκίνησε πρῶτον.
αἴτιον γὰρ καὶ τοῦτο. ἀλλὰ τὸ μὲν τοιοῦτον αἴτιον ἐπὶ
τοῦ γίνεσθαι ζητεῖται καὶ φθείρεσθαι, θάτερον δὲ καὶ
ἐπὶ τοῦ εἶναι. λανθάνει δὲ μάλιστα τὸ ζητούμενον ἐν τοῖς
μὴ κατ᾽ ἄλλων † λεγομένοις· οἷον ἄνθρωπος διὰ † τί
ἐστι ζητεῖται τῷ ἁπλῶς λέγεσθαι ἀλλὰ μὴ διορίζειν
ὅτι τοδὶ ἢ τοδί. ἀλλὰ δεῖ διαρθρώσαντας ζητεῖν. εἰ
δὲ μή, κοινὸν τοῦ μηθὲν ζητεῖν καὶ τοῦ ζητεῖν τι γίγνε-
ται, ἐπεὶ δεῖ ἔχειν τε καὶ ὑπάρχειν τὸ εἶναι. — τὸ γὰρ 34
ζητεῖν, διὰ τί ὁ μουσικὸς ἄνθρωπος ἄνθρωπος μου-
σικός ἐστιν, ἤτοι ἐστὶν εἰρημένον ζητεῖν διὰ τί ὁ ἄν-
θρωπος μουσικός ἐστιν ἢ ἄλλο. τὸ μὲν οὖν διὰ τί
αὐτό ἐστιν αὐτό, οὐθέν ἐστι ζητεῖν, πλὴν εἴ τις λέγοι
ὅτι ἀδιαίρετον πρὸς αὐτὸ ἕκαστον· τοῦτο δ᾽ ἦν τὸ ἑνὶ
εἶναι. ἀλλὰ τοῦτο κοινόν τι κατὰ πάντων καὶ σύντομον.
ζητήσειε δ᾽ ἄν τις, διὰ τί ὁ ἄνθρωπός ἐστι ζῶον τοι-
ονδί. αὐτὸ δὲ ὅτι αὐτό, εἷς λόγος καὶ μία αἰτία ἐπὶ
πάντων, διὰ τί ὁ ἄνθρωπος ἄνθρωπος ἢ ὁ μουσικὸς
μουσικός. τοῦτο μὲν τοίνυν δῆλον, ὅτι οὐ ζητεῖ διὰ τί
ὅς ἐστιν ἄνθρωπος ἄνθρωπός ἐστι. — δῆλον δὴ ὅτι τὴν 35
ὕλην ζητεῖ διὰ τί ἐστι τοδί, οἷον ἄνθρωπος τὸ σῶμα

τοῦτο ὡδὶ ἔχον. — καὶ † διὰ τί ταδί, οἷον λίθοι καὶ
πλίνθοι, οἰκία ἐστί; τοῦτο δ᾽ ἐστὶ τὸ τί ἦν εἶναι, ὡς
εἰπεῖν λογικῶς (ὃ ἐπ᾽ ἐνίων μέν ἐστι τίνος ἕνεκα, οἷον
ἴσως ἐπ᾽ οἰκίας ἢ κλίνης, ἐπ᾽ ἐνίων δὲ — τὸ εἶδος).
οἷον οἰκία ταδὶ διὰ τί; διότι ὑπάρχει ὃ ἦν οἰκίᾳ εἶναι.
ὥςτε τὸ αἴτιον ζητεῖται κατὰ τῆς ὕλης, ᾧ τόδε τί ἐστι·
τοῦτο δ᾽ ἡ οὐσία. φανερὸν τοίνυν ὅτι ἐπὶ τῶν ἁπλῶν
οὐκ ἔστι ζήτησις οὐδὲ δίδαξις (ἀλλ᾽ ἕτερος τρόπος τῆς
ζητήσεως τῶν τοιούτων), ἐπὶ † δὲ τοῦ ἔκ τινος συνθέ-
του οὕτως ὥςτε ἓν εἶναι τὸ πᾶν, μὴ ὡς σωρὸς ἀλλ᾽ ὡς
ἡ συλλαβή. ἡ δὲ συλλαβὴ οὐκ ἔστι τὰ στοιχεῖα, οὐδὲ
36 ταὐτὸ τῷ β καὶ α οὐδ᾽ ἡ σὰρξ πῦρ καὶ γῆ. διαλυθέν-
των γὰρ τὰ μὲν οὐκέτι ἐστίν, οἷον ἡ σὰρξ καὶ ἡ συλ-
λαβή, τὰ δὲ στοιχεῖά ἐστι, καὶ τὸ πῦρ καὶ ἡ γῆ. ἔστι
δὴ ἡ συλλαβὴ † οὐ μόνον τὰ στοιχεῖα, τὸ φωνῆεν καὶ
ἄφωνον, ἀλλὰ καὶ ἕτερόν τι, καὶ ἡ σὰρξ οὐ μόνον πῦρ
καὶ γῆ ἢ τὸ θερμὸν καὶ ψυχρόν, ἀλλὰ καὶ ἕτερόν τι. εἰ
τοίνυν ἀνάγκη κἀκεῖνο ἢ στοιχεῖον ἢ ἐκ στοιχείων εἶναι,
εἰς † ἄπειρον βαδιεῖται. εἰ μὲν στοιχεῖον, πάλιν ὁ αὐ-
τὸς ἔσται λόγος· ἐκ τούτου γὰρ καὶ πυρὸς καὶ γῆς ἔσται
ἡ σὰρξ καὶ ἔτι ἄλλου. εἰ δὲ ἐκ στοιχείων, δῆλον ὅτι
37 οὐχ ἑνὸς ἀλλὰ πλειόνων, ἢ ἐκεῖνο αὐτὸ ἔσται, ὥςτε πάλιν
ἐπὶ τούτου τὸν αὐτὸν ἐροῦμεν λόγον καὶ ἐπὶ σαρκὸς ἢ
συλλαβῆς. στοιχεῖον † δ᾽ ἐστὶν εἰς ὃ διαιρεῖται ἐνυπάρ-
χον ὡς ὕλην, οἷον τῆς συλλαβῆς τὸ α καὶ τὸ β. δόξειε δ᾽ ἂν
εἶναι οὔ τι τοιοῦτο καὶ οὐ στοιχεῖον, ἀλλ᾽ αἴτιόν γε τοῦ
εἶναι ταδὶ μὲν σάρκα ταδὶ δὲ συλλαβήν. οὐσία δ᾽ ἑκάστου
μὲν τοῦτο· τοῦτο γὰρ αἴτιον τοῦ εἶναι † πρῶτον. ἐπεὶ δ᾽
ἔνια οὐκ οὐσίαι τῶν πραγμάτων, ἀλλ᾽ ὅσαι οὐσίαι κατὰ
φύσιν καὶ φύσει συνεστήκασι, φανείη ἂν καὶ μόνη ἡ φύ-
σις αὕτη ἡ οὐσία †, ἥ ἐστιν οὐ στοιχεῖον ἀλλ᾽ ἀρχή. —
38 Ἐπεὶ † δὲ ὁρισμὸς λόγος ἐστί, πᾶς δὲ λόγος μέρη
ἔχει, ἀπορεῖται ἤδη πότερον δεῖ τὸν τῶν μερῶν λόγον
ἐνυπάρχειν ἐν τῷ τοῦ ὅλου λόγῳ, ὡς δὴ ὁ λόγος πρὸς
τὸ πρᾶγμα, καὶ τὸ μέρος τοῦ λόγου πρὸς τὸ μέρος τοῦ

πράγματος ὁμοίως ἔχει, ἢ οὔ. ἐνίων μὲν γὰρ φαίνονται
ἐνόντα, ἐνίων δ' οὔ. τοῦ μὲν γὰρ κύκλου ὁ λόγος οὐκ
ἔχει τὸν τῶν τμημάτων, ὁ δὲ τῆς συλλαβῆς ἔχει τὸν τῶν
στοιχείων. καίτοι διαιρεῖται καὶ ὁ κύκλος εἰς τὰ τμή-
ματα ὥσπερ ἡ συλλαβὴ εἰς τὰ στοιχεῖα. ἔτι δ' εἰ πρό-
τερα τὰ μέρη τοῦ ὅλου, τῆς δ' ὀρθῆς ἡ ὀξεῖα μέρος καὶ
ὁ δάκτυλος τοῦ ζῴου, πρότερον ἂν εἴη ἡ ὀξεῖα τῆς ὀρ- 39
θῆς καὶ ὁ δάκτυλος τοῦ ἀνθρώπου. δοκεῖ δ' εἶναι
ὕστερα· † τῷ λόγῳ (λέγονται γὰρ ἐξ ἐκείνων) καὶ τῷ εἶναι
ἄνευ ἀλλήλων πρότερα. ἢ πολλαχῶς λέγεται τὸ μέρος.
[ὧν εἷς μὲν τρόπος τὸ μετροῦν κατὰ τὸ ποσόν. ἀλλὰ
τοῦτο μὲν ἀφείσθω, ἐξ ὧν δὲ ἡ οὐσία ὡς μερῶν, τοῦτο
σκεπτέον] εἰ οὖν ἐστὶ τὸ μὲν ὕλη, τὸ δ' εἶδος καὶ τὸ ἐκ
τούτων, ἔστι μὲν ὡς καὶ ἡ ὕλη μέρος τινὸς λέγεται, ἔστι
δ' ὡς οὔ, ἀλλ' ἐξ ὧν ὁ τοῦ εἴδους λόγος· οἷον τῆς κοι-
λότητος οὐκ ἔστι μέρος ἡ σάρξ (αὕτη γὰρ ὕλη ἐφ' ἧς
γίγνεται) τῆς δὲ σιμότητος μέρος, καὶ τοῦ συνόλου ἀν-
δριάντος μέρος ὁ χαλκός, τοῦ δ' ὡς εἴδους λεγομένου
ἀνδριάντος οὔ. — διὰ † γὰρ τοῦτο ἔνια μὲν ἐκ τούτων ὡς 40
ἀρχῶν ἐστὶν εἰς ἃ φθείρεται, ἔνια δ' οὐκ ἔστιν. ὅσα μὲν
οὖν συνειλημμένα τὸ εἶδος καὶ ἡ ὕλη ἐστίν, οἷον τὸ σιμὸν ἢ
ὁ χαλκοῦς κύκλος, ταῦτα μὲν φθείρεται εἰς ταῦτα καὶ μέ-
ρος αὐτῶν ἡ ὕλη· ὅσα δὲ μὴ συνείληπται τῇ ὕλῃ ἀλλ' ἄνευ
ὕλης, ὧν οἱ λόγοι τοῦ εἴδους μόνον, ταῦτα οὐ φθείρεται ἢ
ὅλως ἢ οὔτι οὕτως γε· ὥστ' ἐκείνων μὲν ἀρχαὶ καὶ μέρη τὰ
ὑφ' αὐτά. τοῦ δ' εἴδους οὔτε μέρη οὔτ' ἀρχαὶ ταῦτα. καὶ 41
διὰ τοῦτο φθείρεται ὁ πήλινος ἀνδριὰς εἰς πηλὸν καὶ ἡ
χαλκῆ σφαῖρα εἰς χαλκὸν καὶ ὁ Καλλίας εἰς σάρκα καὶ ὀστᾶ,
ἔτι δ' ὁμοίως ὁ κύκλος εἰς τὰ τμήματα· ἔστι γάρ τι ὃ
συνείληπται τῇ ὕλῃ. — καὶ † γὰρ ἡ γραμμὴ οὐχ ἧττον
διαιρουμένη εἰς τὰ ἡμίση φθείρεται ἢ ὁ ἄνθρωπος εἰς
τὰ ὀστᾶ καὶ νεῦρα καὶ σάρκας. διὰ τοῦτο καὶ εἰσὶν ἐκ
τούτων ὡς ὄντων τῆς οὐσίας μερῶν ἀλλ' ὡς ἐξ ὕλης, καὶ
τοῦ συνόλου μὲν μέρη, τοῦ εἴδους δὲ καὶ οὗ ὁ λόγος οὐκ-
έτι· διόπερ οὐδ' ἐν τοῖς λόγοις. τῶν μὲν οὖν ἐνέσται

ὁ τῶν τοιούτων μερῶν λόγος, τῶν δ' οὐ δεῖ ἐνεῖναι, ἂν
42 μὴ ᾖ τοῦ συνειλημμένου. — λεκτέον γὰρ τὸ εἶδος καὶ ᾗ
εἶδος ἔχει ἕκαστον· τὸ δ' ὑλικὸν οὐδέποτε καθ' αὑτὸ
λεκτέον. διὸ ὁ μὲν τοῦ κύκλου λόγος οὐκ ἔχει τὸν τῶν
τμημάτων, ὁ δὲ τῆς συλλαβῆς τὸν τῶν στοιχείων· τὰ μὲν
γὰρ στοιχεῖα τοῦ λόγου μέρη τοῦ εἴδους καὶ οὐχ ὕλη·
τὰ δὲ τμήματα οὕτως μέρη ὡς ὕλη ἐφ' οἷς ἐπιγίγνεται,
ἐγγυτέρω μέντοι τοῦ εἴδους ἢ ὁ χαλκός, ὅταν ἐν χαλκῷ
ἡ στρογγυλότης ἐγγένηται. ἔστι δ' ὡς οὐδὲ τὰ στοιχεῖα
ἅπαντα τῆς συλλαβῆς ἐν τῷ λόγῳ ἐνέσται, οἷον ταδὶ τὰ
κήρινα ἢ τὰ ἐν τῷ ἀέρι. ἤδη γὰρ καὶ ταῦτα μέρη τῆς
43 συλλαβῆς ὡς ὕλη αἰσθητή. — ὥστε ὅσα μὲν μέρη ὡς ὕλη
καὶ εἰς ἃ διαιρεῖται ὡς ὕλην ὕστερα, ὅσα δὲ ὡς τοῦ λό-
γου καὶ τῆς οὐσίας τῆς κατὰ τὸν λόγον πρότερα ἢ πάντα
ἢ ἔνια. ἐπεὶ δὲ ἡ τῶν ζῴων ψυχή (τοῦτο γὰρ οὐσία τοῦ
ἐμψύχου) ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος καὶ τὸ
τί ἦν εἶναι τῷ τοιῷδε σώματι, (ἕκαστον γοῦν τὸ μέρος
ἐὰν ὁρίζηται καλῶς, οὐκ ἄνευ τοῦ ἔργου ὁριεῖται, ὃ οὐχ
ὑπάρξει ἄνευ αἰσθήσεως). ὥστε τὰ ταύτης μέρη πρότερα
ἢ πάντα ἢ ἔνια τοῦ συνόλου ζῴου· καὶ καθ' ἕκαστον δὴ
ὁμοίως. τὸ δὲ σῶμα καὶ τὰ τούτου μόρια ὕστερα ταύ-
της τῆς οὐσίας, καὶ διαιρεῖται εἰς ταῦτα ὡς εἰς ὕλην
44 οὐχ ἡ οὐσία ἀλλὰ τὸ σύνολον. τοῦ μὲν οὖν συνόλου
πρότερα ταῦτ' ἔστιν ὥς, ἔστιν δ' ὡς οὔ. οὐ γὰρ ὁ πάν-
τως ἔχων δάκτυλος ζῴου, ἀλλ' ὁμωνύμως ὁ τεθνεώς.
ἔνια δὲ ἅμα ὅσα κύρια καὶ ἐν ᾧ πρώτῳ ὁ λόγος καὶ ἡ
οὐσία, οἷον εἰ τοῦτο καρδία ἢ ἐγκέφαλος, διαφέρει γὰρ
οὐθὲν πότερον τοιοῦτον. ὁ δ' ἄνθρωπος † καὶ ὁ ἵππος
καὶ τὰ οὕτως — σύνολόν τι ἐκ τουδὶ τοῦ λόγου καὶ
τησδὶ τῆς ὕλης ὡς καθόλου. καθ' ἕκαστον δ' ἐκ τῆς
ἐσχάτης ὕλης ὁ Σωκράτης ἤδη ἐστί, καὶ ἐπὶ τῶν ἄλλων
45 ὁμοίως ἐπὶ τῶν καθ' ἕκαστα. — ὁμωνύμως γὰρ λέγεται
κύκλος ὅ τε ἁπλῶς λεγόμενος καὶ ὁ καθ' ἕκαστα, διὰ
τὸ μὴ εἶναι ἴδιον ὄνομα τοῖς καθ' ἕκαστον. εἴρηται μὲν
οὖν καὶ νῦν τἀληθές· ὅμως δ' ἔτι σαφέστερον εἴπωμεν

ἐπαναλαβόντες. ὅσα μὲν γὰρ τοῦ λόγου μέρη καὶ εἰς ἃ
διαιρεῖται ὁ λόγος, ταῦτα πρότερα ἢ πάντα ἢ ἔνια. ὁ
δὲ τῆς ὀρθῆς λόγος οὐ διαιρεῖται εἰς ὀξείας λόγον, ἀλλὰ
τῆς ὀξείας εἰς ὀρθήν· χρῆται γὰρ ὁ ὁριζόμενος τὴν ὀξεῖαν
τῇ ὀρθῇ, ἐλάττων γὰρ ὀρθῆς ἡ ὀξεῖα. ὁμοίως δὲ καὶ
ὁ κύκλος καὶ τὸ ἡμικύκλιον ἔχουσι. τὸ γὰρ ἡμικύκλιον
τῷ κύκλῳ ὁρίζεται καὶ ὁ δάκτυλος τῷ ὅλῳ. [τὸ γὰρ
τοιόνδε μέρος ἀνθρώπου δάκτυλος].

Μέρος μὲν οὖν ἐστὶ καὶ τοῦ εἴδους (εἶδος δὲ λέγω 46
τὸ τί ἦν εἶναι) καὶ τοῦ συνόλου τοῦ ἐκ τοῦ εἴδους καὶ
τῆς ὕλης αὐτῆς. ἀλλὰ τοῦ λόγου μέρη τὰ τοῦ εἴδους
μόνον ἐστί· τὸ † γὰρ [κύκλῳ εἶναι καὶ κύκλος καὶ] ψυχῇ
εἶναι καὶ ψυχὴ ταὐτό. ὁ δὲ λόγος ἐστὶ τοῦ καθόλου.
καθόλου δ' οὐκ ἔστιν οὐσία, ἀλλ' ἀεὶ λέγομεν καὶ γνω-
ρίζομεν τῷ καθόλου λόγῳ †. τοῦ δὲ συνόλου ἤδη, οἷον
κύκλου τουδὶ τῶν καθ' ἕκαστά τινος ἢ αἰσθητοῦ ἢ νοη-
τοῦ (λέγω δὲ νοητοὺς μὲν οἷον τοὺς μαθηματικούς,
αἰσθητοὺς δὲ οἷον τοὺς χαλκοῦς καὶ τοὺς ξυλίνους) τού-
των δ' οὐκ ἔστιν ὁρισμός. ἀπελθόντες † δ' ἐκ τῆς ἐν- 47
τελεχείας οὐ δῆλον, πότερόν ποτε ἦσαν ἢ οὐκ ἦσαν, ἀλλ' ἀεὶ
μετὰ νοήσεως ἢ αἰσθήσεως γνωρίζονται. ἡ δ' ὕλη ἄγνωστος
καθ' αὑτήν. ὕλη δὲ ἡ μὲν αἰσθητή ἐστιν, ἡ δὲ νοητή, αἰσθη-
τὴ μὲν οἷον χαλκὸς καὶ ξύλον καὶ ὅση κινητὴ ὕλη, νοητὴ δὲ
ἡ ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσα μὴ ᾗ αἰσθητά, οἷον τὰ μα-
θημστικά πῶς μὲν οὖν ἔχει περὶ ὅλου καὶ μέρους καὶ περὶ
τοῦ προτέρου καὶ ὑστέρου εἴρηται. πρὸς † δὲ τὴν ἐρώτησιν
ἀνάγκη ἀπαντᾶν, ὅταν τις ἔρηται, πότερον ἡ ὀρθὴ καὶ ὁ κύ-
κλος καὶ τὸ ζῷον πρότερον, ἢ τὰ μέρη εἰς ἃ διαιροῦνται καὶ
ἐξ ὧν εἰσί, ὅτι οὐχ ἁπλῶς ἢ ἕκαστον ἢ ἑκάστου, οἷον
τῶν ἐν τῷ λόγῳ. εἰ μὲν γάρ ἐστι ζῷον ψυχὴ ἢ ἔμψυχον, 48
καὶ κύκλος τὸ κύκλῳ εἶναι καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι
καὶ ἡ οὐσία ἡ τῆς ὀρθῆς, τί μὲν καὶ τίνος φατέον ὕστε-
ρον; τίνος ὀρθῆς; καὶ γὰρ ἡ μετὰ τῆς ὕλης ἡ χαλκῆ ὀρ-
θή, καὶ ἡ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα. ἡ δ'
ἄνευ ὕλης τῶν μὲν ἐν τῷ λόγῳ ὑστέρα, τῶν δ' ἐν τῷ καθ'

ἕκαστα μορίων προτέρα. ἁπλῶς δ᾽ οὐ φατέον. εἰ δὲ ἕτερον καὶ μή ἐστι ψυχὴ τὸ ζῷον, καὶ οὕτω τὰ μὲν φατέον, τὰ δ᾽ οὐ φατέον, ὥσπερ εἴρηται †.

49 Ὅτι † μὲν οὖν ἔχει τινὰ ἀπορίαν τὰ περὶ τοὺς ὁρισμοὺς καὶ διὰ τίν᾽ αἰτίαν εἴρηται, διὰ τί οὐκ εἰσὶ μέρη οἱ λόγοι τῶν λόγων. οὐ γὰρ πάντως ἔχουσα τοῦ ἀνθρώπου μέρος ἡ χείρ, ἀλλ᾽ ἡ δυναμένη τὸ ἔργον ἀποτελεῖν, ὥστε ἔμψυχος οὖσα. περὶ δὲ τὰ μαθηματικά, οὐ γάρ ἐστιν αἰσθητὰ ταῦτα. ἢ οὐθὲν διαφέρει· ἔσται γὰρ ὕλη ἐνίων καὶ μὴ αἰσθητῶν, οἷον τοῦ κύκλου τὰ ἡμικύκλια †. ἔστι γὰρ ἡ ὕλη ἡ μὲν αἰσθητή, ἡ δὲ νοητή. καὶ πάντως γὰρ ὕλη τίς ἐστιν, ὃ μή ἐστιν αὐτὸ καθ᾽ αὑτὸ τόδε τι †.

50 δῆλον δὲ καὶ ὅτι ἡ ψυχὴ οὐσία ἡ πρώτη, εἰ μὲν ἡ ψυχὴ τί ἦν εἶναι καὶ εἶδος, τὸ δὲ σῶμα ὕλη, ὁ δ᾽ ἄνθρωπος ἢ τὸ ζῷον τὸ ἐξ ἀμφοῖν ὡς καθόλου, Σωκράτης δὲ καὶ Κορίσκος τῶν καθ᾽ ἕκαστα . . . . διττόν· οἱ μὲν γὰρ ὡς ψυχήν, οἱ δ᾽ ὡς τὸ σύνολον [εἰ δὲ ἁπλῶς, ἡ ψυχὴ ἥδε καὶ τὸ σῶμα τόδε] ὥσπερ τό τε καθόλου καὶ τὸ καθ᾽ ἕκαστον †.

51 Τί μὲν οὖν ἐστι τὸ τί ἦν εἶναι καὶ πῶς αὐτὸ καθ᾽ αὑτὸ καθόλου περὶ παντὸς εἴρηται· καὶ διὰ τί τῶν μὲν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι ἔχει τὰ μόρια τοῦ ὁριζομένου, τῶν δ᾽ οὔ· καὶ ὅτι ἐν μὲν τῷ τῆς οὐσίας λόγῳ τὰ οὕτω μόρια ὡς ὕλη οὐκ ἐνέσται. οὐδὲ γάρ ἐστιν ἐκείνης μόρια τῆς οὐσίας ἀλλὰ τῆς συνόλης. ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνὸν ἐξ οὗ καὶ τῆς ὕλης ἡ σύνοδος λέγεται οὐσία, οἷον ἡ κοιλότης. ἐκ γὰρ ταύτης καὶ τῆς ῥινὸς σιμὴ ῥὶς καὶ ἡ σιμότης ἔστι. [δὶς γὰρ ἐν τούτοις ὑπάρξει ἡ ῥίς].

52 ἐν δὲ τῇ συνόλῳ οὐσίᾳ οἷον ῥινὶ σιμῇ ἢ Καλλίᾳ ἐνέσται καὶ ἡ ὕλη †. ταύτης δέ γ᾽ ἔστι πως λόγος καὶ οὐκ ἔστιν (ἀόριστον γάρ). μετὰ μὲν γὰρ τῆς ὕλης ἐστί, κατὰ δὲ τὴν πρώτην οὐσίαν, οἷον ἀνθρώπου ὁ τῆς ψυχῆς λόγος. καὶ ὅτι τὰ τί ἦν εἶναι καὶ ἕκαστον ἐπὶ τινῶν μὲν ταὐτόν, ὥσπερ ἐπὶ τῶν πρώτων οὐσιῶν, οἷον καμπυλότης καὶ καμπυλότητι εἶναι, εἰ πρώτη ἐστί. λέγω δὲ πρώτην ἣ

μὴ λέγεται τῷ ἄλλο ἐν ἄλλῳ εἶναι καὶ ὑποκειμένῳ ὡς
ὕλῃ. ὅσα δ᾽ ὡς ὕλη ἢ ὡς τὰ συνειλημμένα τῇ ὕλῃ, οὐ
ταὐτό, οὐδὲ κατὰ συμβεβηκὸς ἕν, οἷον ὁ Σωκράτης καὶ
τὸ μουσικόν, ταῦτα γὰρ ταὐτὸ κατὰ συμβεβηκός.

Ἐπεὶ δὲ περὶ τῆς οὐσίας ἡ σκέψις ἐστί, πάλιν ἐπαν- 53
έλθωμεν. λέγεται δ᾽ ὥσπερ εἴρηται τὸ ὑποκείμενον οὐ-
σία εἶναι καὶ τὸ τί ἦν εἶναι καὶ τὸ καθόλου. περὶ μὲν
οὖν τοῖν δυοῖν εἴρηται· καὶ γὰρ περὶ τοῦ τί ἦν εἶναι
καὶ τοῦ ὑποκειμένου, ὅτι διχῶς ὑποκεῖται, ἢ τόδε τι ὄν,
ὥσπερ τὸ ζῷον τοῖς πάθεσιν, ἢ ὡς ἡ ὕλη τῇ ἐντελεχείᾳ.
δοκεῖ δὲ καὶ τὸ καθόλου αἴτιόν τισιν εἶναι μάλιστα,
καὶ εἶναι ἀρχὴ τὸ καθόλου. διὸ ἐπέλθωμεν καὶ περὶ
τούτου. ἔοικε γὰρ ἀδύνατον οὐσίαν εἶναι ὁτιοῦν τῶν
καθόλου λεγομένων. πρώτη μὲν γὰρ οὐσία ἴδιος ἑκάστῳ
ἣ οὐχ ὑπάρχει ἄλλῳ. τὸ δὲ καθόλου κοινόν· τοῦτο γὰρ 54
λέγεται καθόλου, ὃ πλείοσιν ὑπάρχειν πέφυκε. τίνος οὖν
οὐσία τοῦτ᾽ ἔσται; ἢ γὰρ ἁπάντων ἢ οὐθενός. ἁπάντων
δ᾽ οὐχ οἷόν τε· ἑνὸς δ᾽ εἰ ἔσται, καὶ τἆλλα ταὐτὸ ἔσται·
ὧν γὰρ μία οὐσία καὶ τὸ τί ἦν εἶναι ἕν, καὶ αὐτὰ ἕν.
ἔτι οὐσία λέγεται τὸ μὴ καθ᾽ ὑποκειμένου, τὸ δὲ καθό-
λου καθ᾽ ὑποκειμένου τινὸς λέγεται ἀεί. ἀλλ᾽ ἆρα οὕ-
τως μὲν οὐκ ἐνδέχεται ὥσπερ τὸ τί ἦν εἶναι ἐν τῷδε καὶ
τῷδε ἐνυπάρχειν οἷον τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵπ-
πῳ. — ὥστε καὶ † τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ 55
ἤτοι ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ ἐστὶν ἢ ἕτερον. τῷ μὲν
γὰρ λόγῳ δῆλον ὅτι ἕν, τὸν γὰρ αὐτὸν ὁ λέγων διέξεισι
λόγον ἐν ἑκατέρῳ. [καὶ τὸ ζῷον] εἰ μὲν οὖν τὸ αὐτὸ καὶ
ἓν τὸ ἐν τῷ ἵππῳ καὶ τῷ ἀνθρώπῳ, ὥσπερ σὺ σαυτῷ,
πῶς ἐν τοῖς οὖσι χωρὶς ἓν ἔσται καὶ διὰ τί; οὐ καὶ χω-
ρὶς αὐτοῦ ἔσται τὸ ζῷον τοῦτο; ἔπειτα εἰ μὲν μεθέξει
τοῦ δίποδος καὶ τοῦ πολύποδος, ἀδύνατόν τι συμβαίνει·
τἀναντία γὰρ ὑπάρξει αὐτῷ ἑνὶ καὶ τῷδέ τινι ὄντι. εἰ
δὲ μή, ἀλλ᾽ ἕτερον ἐν ἑκάστῳ, οὐκοῦν ἄπειρα, ὡς ἔπος
εἰπεῖν, ἔσται ἡ οὐσία ζῷον; — ἔτι † εἰ ἔστιν οὐσία ὁ 56
ἄνθρωπος καὶ ὅσα οὕτω λέγεται, τῇ Σωκράτους οὐσίᾳ

ἐνυπάρξει οὐσία, ὥστε δυοῖν ἔσται οὐσία. ἔσται γὰρ οὐ-
σία ἐκείνου οὐσίας, οἷον τὸ ζῶον. οὐθὲν γὰρ ἧττον οὐσία
τούτου ἔσται ἐν ᾧ ὡς εἴδει ὑπάρχει ὡς ὁ ἄνθρωπος τοῦ
τινὸς ἀνθρώπου ἐν ᾧ ὑπάρχει, ὥστε τὸ αὐτὸ συμβήσεται
πάλιν. ἔκ τε δὴ τούτων θεωροῦσι φανερὸν ὅτι οὐθὲν
τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστί, καὶ ὅτι οὐθὲν ση-
μαίνει τῶν κοινῇ κατηγορουμένων τόδε τι ἀλλὰ τοιόνδε.
εἰ δὲ μή, ἄλλα τε πόλλα συμβαίνει καὶ ὁ τρίτος ἄνθρω-
57 πος. — Νῦν † δὲ λέγωμεν πρῶτον, ἐφ᾽ ὅσον ἐν τοῖς ἀνα-
λυτικοῖς περὶ ὁρισμοῦ μὴ εἴρηται· ἡ γὰρ ἐν ἐκείνοις
ἀπορία λεχθεῖσα πρὸ ἔργου τοῖς περὶ τῆς οὐσίας λόγοις
ἐστί. λέγω δὲ ταύτην τὴν ἀπορίαν, διὰ τί ποτε ἕν ἐστιν
οὗ τὸν λόγον ὁρισμὸν εἶναί φαμεν, οἷον τοῦ ἀνθρώπου
τὸ ζῶον δίπουν (ἔστω γὰρ οὗτος αὐτοῦ λόγος), διὰ τί δὴ
τοῦτο ἕν ἐστιν ἀλλ᾽ οὐ πολλά, ζῶον καὶ δίπουν; ἐπὶ μὲν
γὰρ τοῦ ἄνθρωπος καὶ λευκὸν πολλὰ μέν ἐστιν, ὅταν μὴ
ὑπάρχῃ θατέρῳ θάτερον, ἓν δέ, ὅταν ὑπάρχῃ καὶ πάθῃ
τι τὸ ὑποκείμενον ὁ ἄνθρωπος. τότε γὰρ ἓν γίγνεται
58 καὶ ἔστιν ὁ λευκὸς ἄνθρωπος. ἐνταῦθα δ᾽ οὐ μετέχει
θατέρου θάτερον. τὸ γὰρ γένος οὐ δοκεῖ μετέχειν τῶν
διαφορῶν· ἅμα γὰρ ἂν τῶν ἐναντίων τὸ αὐτὸ μετεῖχεν·
αἱ γὰρ διαφοραὶ ἐναντίαι αἷς διαφέρει τὸ γένος. [εἰ δὲ
καὶ μετέχει] καὶ ὁ αὐτὸς λόγος, εἴπερ εἰσὶν αἱ διαφοραὶ
πλείους, οἷον πεζόν, δίπουν, ἄπτερον. διὰ τί γὰρ ταῦτα
ἓν ἀλλ᾽ οὐ πολλά; οὐ γὰρ ὅτι ἐνὶ ὑπάρχει· οὕτω γὰρ ἐξ
ἁπάντων ἔσται ἕν. δεῖ δέ γε ἓν εἶναι ὅσα τῷ ὁρισμῷ·
ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ οὐσίας· ὥστε ἑνός
τινος δεῖ αὐτὸν εἶναι λόγον. καὶ γὰρ ἡ οὐσία ἕν τι καὶ
59 τόδε τι σημαίνει, ὥς φαμεν. — οὐκοῦν † δῆλον ὅτι ἔστι
τις αὐτοῦ λόγος. διαφέρει δ᾽ οὐθέν, οὐδ᾽ εἰ μὴ πάντων
λόγος ἐστὶ τῶν ἐν τῇ οὐσίᾳ. ἔτι δὲ καὶ ἀδύνατον καὶ
ἄτοπον τὸ τόδε καὶ οὐσίαν, εἰ ἔστιν ἔκ τινων, μὴ ἐξ οὐ-
σιῶν εἶναι μηδ᾽ ἐκ τοῦ τόδε τι ἀλλ᾽ ἐκ ποιοῦ. πρότερον
γὰρ ἔσται μὴ οὐσία τε καὶ τὸ ποιὸν οὐσίας τε καὶ τοῦ
τόδε. ὅπερ ἀδύνατον. οὔτε λόγῳ γὰρ οὔτε χρόνῳ οὔτε

γενέσει οἷόν τε τὰ πάθη τῆς οὐσίας εἶναι πρότερα· ἔσται
γὰρ χωριστά. ὅλως δὲ συμβαίνει μηθὲν τῶν ἐν τῷ λόγῳ
εἶναι [μηθενὸς] οὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν μηδ᾽ ἐν ἐν
ἄλλῳ. λέγω δ᾽ οἷον οὐκ εἶναί τι ζῷον παρὰ τὰ τινά,
οὐδ᾽ ἄλλο τῶν ἐν τοῖς λόγοις οὐθέν. — ἔτι δὲ καὶ ὧδε 60
δῆλον. ἀδύνατον οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνυπαρχουσῶν
ὡς ἐντελεχείᾳ. τὰ γὰρ δύο οὕτως ἐντελεχείᾳ οὐδέποτε
ἓν ἐντελεχείᾳ. ἀλλ᾽ ἐὰν δυνάμει δύο ᾖ, ἔσται ἕν, οἷον ἡ
διπλασία ἐκ δύο ἡμίσεων δυνάμει γε, ἡ γὰρ ἐντελέχεια
χωρίζει· ὥςτε εἰ ἡ οὐσία ἕν, οὐκ ἔσται ἐξ οὐσιῶν ἐνυπ-
αρχουσῶν, καὶ κατὰ τοῦτον τὸν τρόπον ὃν λέγει Δημό-
κριτος ὀρθῶς· ἀδύνατον γὰρ εἶναί φησιν ἐκ δύο ἓν ἢ ἐξ
ἑνὸς δύο γενέσθαι. τὰ γὰρ μεγέθη τὰ ἄτομα τὰς οὐσίας
ποιεῖ. ὁμοίως τοίνυν δῆλον ὅτι καὶ ἐπ᾽ ἀριθμοῦ ἕξει,
εἴπερ ἔστιν ὁ ἀριθμὸς σύνθεσις μονάδων, ὥςπερ λέγεται
ὑπό τινων. ἢ γὰρ οὐχ ἓν ἡ δυάς, ἢ οὐκ ἔστι μονὰς ἐν 61
αὐτῇ ἐντελεχείᾳ. ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν. εἰ γὰρ
μήτε ἐκ τῶν καθόλου οἷόν τε εἶναι μηδεμίαν οὐσίαν διὰ
τὸ τοιόνδε ἀλλὰ μὴ τόδε τι σημαίνειν, μήτ᾽ ἐξ οὐσιῶν
ἐνδέχεται ἐντελεχείᾳ εἶναι μηδεμίαν οὐσίαν σύνθετον,
ἀσύνθετον ἂν εἴη οὐσία πᾶσα, ὥςτε οὐδὲ λόγος ἂν εἴη
οὐδεμιᾶς οὐσίας. ἀλλὰ μὴν δοκεῖ γε πᾶσι καὶ ἐλέχθη
πάλαι ἢ μόνον οὐσίας εἶναι λόγον ἢ μάλιστα. νῦν δὲ
οὐδὲ ταύτης. οὐδενὸς ἄρ᾽ ἔσται ὁρισμὸς ἢ τρόπον μέν
τινα ἔσται, τρόπον δέ τινα οὔ. δῆλον δ᾽ ἔσται τὸ λεγό-
μενον ἐκ τῶν ὑστέρων μᾶλλον.

Φανερὸν † δ᾽ ἐξ αὐτῶν τούτων τὸ συμβαῖνον καὶ 62
τοῖς τὰς ἰδέας λέγουσιν οὐσίας τε καὶ χωριστὰς εἶναι,
καὶ ἅμα τὸ εἶδος ἐκ τοῦ γένους ποιοῦσι καὶ τῶν δια-
φορῶν. εἰ γάρ ἐστι τὰ εἴδη, τίς ὁ τρόπος, ὅταν εἴπῃ τι
τὸ ζῷον εἶναι δίπουν ἢ πεζόν; ἀλλ᾽ ἴσως συγκεῖται
καὶ ἅπτεται καὶ μέμικται. ἀλλὰ πάντα ἄτοπα· οὐ γὰρ
κατὰ συμβεβηκὸς ἐκ ζῴου ὁ ἄνθρωπος. εἰ οὖν ἐστί τις
ἄνθρωπος αὐτὸς καθ᾽ αὑτὸν τόδε τι καὶ κεχωρισμένον,
ἀνάγκη καὶ τὰ ἐξ ὧν, οἷον τὸ ζῷον καὶ τὸ δίπουν, τόδε

63 τι σημαίνειν καὶ εἶναι χωριστὰ καὶ οὐσίας, πρότερά †
γ' ὄντα καὶ μέρη τοῦ συνθέτου. ἀλλὰ μὴν καὶ χωριστὰ
ἢ οὐθὲν ἢ ἄμφω, εἴπερ τὸ ἄνθρωπος χωριστόν. εἰ μὲν
οὖν μηθέν, οὐκ ἔσται τὸ γένος παρὰ τὰ εἴδη· εἰ δ' ἔσται,
καὶ ἡ διαφορά. ἔπειτα δὲ εἰ ἐξ ἰδεῶν αἱ ἰδέαι (ἀσυν-
θετώτερα † γὰρ τὰ ἐξ ὧν), πῶς γνωρισθήσεται τὸ ἐξ
ἀμφοῖν οἷον τὸ ζῷον δίπουν τῷ ζῴῳ καὶ τὸ δίποδι. ἔστι
γὰρ ἰδέα τις ἣν ἀδύνατον ἐπὶ πλειόνων κατηγορῆσαι ἢ
ἑνός. εἰ δὲ μή, ἔτι ἐπὶ πολλῶν δεήσει κἀκεῖνα κατηγο-
ρεῖσθαι ἐξ ὧν ἡ ἰδέα. οὐ δοκεῖ δέ, ἀλλὰ πᾶσα ἰδέα
εἶναι μεθεκτή †. . . . .
. . . .

64 ἔτι ἐκ τίνος τοῦτο καὶ πῶς ἐξ αὐτοῦ ζῷον, ἢ πῶς οἷόν
τε εἶναι τὸ ζῷον οὐσία, τοῦτο αὐτὸ † παρ' αὐτὸ τὸ ζῷον.
εἰ δ' ἐξ ἐκείνοι ὁ ἄνθρωπος καὶ μὴ ἔσται γένος αὐτοῦ
ἐκεῖνο, ἔτι πολλὰ ἔσται αὐτὸ τὸ ζῷον. οὐσία τε γὰρ τὸ
ἐν ἑκάστῳ ζῷον, οὐ γὰρ κατ' ἄλλο λέγεται. οὐκοῦν οὐκ
ἄλλου μὲν ἰδέα ἔσται, ἄλλου δ' οὔ· ἀδύνατον γάρ. αὐτὸ
ἄρα ζῷον ἑκάστου ἔσται τῶν ἐν τοῖς ζῴοις. καὶ ἔτι ἰδέαι
ἅπαντα ἐξ ὧν ὁ ἄνθρωπος. ἔτι δ' ἐπὶ τῶν αἰσθητῶν
ταὐτά τε συμβαίνει καὶ τούτων ἀτοπώτερα. εἰ δὴ ἀδύ-
νατον οὕτως ἔχειν, δῆλον ὅτι οὐκ ἔστιν εἴδη αὐτῶν οὕτως
ὥς τινές φασιν.

65 Ἐπεὶ δ' ἡ οὐσία ἑτέρα, τό τε σύνολον καὶ ὁ λόγος
(λέγω δ' ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία σὺν τῇ ὕλῃ συνει-
λημμένος ὁ λόγος ἡ δὲ λόγος ὅλως)· ὅσαι μὲν οὖν οὕτω
λέγονται, τούτων μέν ἐστι φθορά· καὶ γὰρ γένεσις. τοῦ
δὲ λόγου οὐκ ἔστιν οὕτως ὥστε φθείρεσθαι, οὐδὲ γὰρ
γένεσις, (οὐ γὰρ γίγνεται τὸ οἰκίᾳ εἶναι ἀλλὰ τὸ τήνδε
† τὴν οἰκίαν εἶναι). [ἀλλ' ἄνευ γενέσεως καὶ φθορᾶς
εἰσὶ καὶ οὐκ εἰσί. δέδεικται γὰρ ὅτι οὐθεὶς ταῦτα γεννᾷ
οὐδὲ ποιεῖ]. διὰ τοῦτο δὲ καὶ τῶν οὐσιῶν τῶν αἰσθη-
τῶν τῶν καθ' ἕκαστα οὐθ' ὁρισμὸς οὔτ' ἀπόδειξίς ἐστιν,
ὅτι ἔχουσιν ὕλην ἧς ἡ φύσις τοιαύτη ὥστ' ἐνδέχεσθαι
66 καὶ εἶναι καὶ μή. διὸ φθαρτὰ πάντα τὰ καθ' ἕκαστα

αὐτῶν. εἰ οὖν ἥ τ' ἀπόδειξις τῶν ἀναγκαίων καὶ ὁ ὁρι-
σμὸς ἐπιστημονικός, καὶ οὐκ ἐνδέχεται, ὥςπερ οὐδ' ἐπι-
στήμην ὁτὲ μὲν ἐπιστήμην ὁτὲ δ' ἀγνοίαν εἶναι, ἀλλὰ
δόξα τὸ τοιοῦτόν ἐστι, οὕτως οὐδὲ ἀπόδειξις οὐδ' ὁρι-
σμὸς ἀλλὰ δόξα ἐστὶ τοῦ ἐνδεχομένου ἄλλως ἔχειν, δῆλον
ὅτι οὐκ ἂν εἴη αὐτῶν οὔτε ὁρισμὸς οὔτε ἀπόδειξις.
ἄδηλά τε γὰρ τὰ φθειρόμενα τοῖς ἔχουσι τὴν ἐπιστήμην·
καὶ ὅταν ἐκ τῆς αἰσθήσεως ἀπέλθῃ, καὶ σωζομένων τῶν
λόγων ἐν τῇ ψυχῇ, τῶν αὐτῶν οὐκέτι ἔσται οὔτε ὁρισμὸς
οὔτε ἀπόδειξις. ἀναγκαῖον † δὲ ἐξ ὀνομάτων εἶναι τὸν 67
λόγον· ὄνομα δ' οὐ ποιήσει ὁ ὁριζόμενος· ἄγνωστον γὰρ
ἔσται· τὰ δὲ κείμενα κοινὰ πᾶσιν. ἀνάγκη ἄρα ὑπάρχειν
καὶ ἄλλῳ ταῦτα. οἷον εἴ τις σὲ ὁρίσαιτο, ζῷον ἐρεῖ ἰσ-
χνὸν ἢ λευκὸν ἢ ἕτερόν τι ὃ καὶ ἄλλῳ ὑπάρξει. εἰ δέ τις
φαίη μηθὲν κωλύειν, χωρὶς μὲν πάντα πολλοῖς, ἅμα δὲ
μόνῳ τούτῳ ὑπάρχειν τὸ πρῶτον †, δεῖ τῶν πρὸς ὅρον,
ὅταν τις ὁρίζηται τι τῶν καθ' ἕκαστα, μὴ ἀγνοεῖν ὅτι
ἀεὶ ἀναιρεῖν ἔστι, ταῦτα δ' οὐκ ἀνταναιρεῖται, ὅτι πρό-
τερα τῷ εἶναι. καὶ τοῦτο ἐπὶ τῶν ἀϊδίων καὶ ἀνάγκη
εἶναι, οὐ γὰρ ἐνδέχεται ὁρίσασθαι. οὐδὲ δὴ ἰδέαν οὐδε-
μίαν ἔστιν ὁρίσασθαι· τῶν γὰρ καθ' ἕκαστον ἡ ἰδέα ὥς
φασι καὶ χωριστή. — ἐπεὶ † διὰ τί οὐθεὶς ὅρον ἐκφέ- 68
ρει ἰδέας; γένοιτο γὰρ ἂν δῆλον πειρωμένων ὅτι ἀληθὲς τὸ
νῦν εἰρημένον. ὥςπερ οὖν εἴρηται, λανθάνει ὅτι ἀδύνα-
τον ὁρίσασθαι ἐν τοῖς ἀϊδίοις, μάλιστα ὅσα μοναχά, οἷον
ἥλιος ἢ σελήνη. οὐ μόνον γὰρ διαμαρτάνουσι τῷ προστι-
θέναι τοιαῦτα ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, (ὥςπερ
τὸ περὶ γῆν ἰὸν ἢ νυκτικρυφές. ἂν γὰρ στῇ ἢ ἀεὶ φανῇ
οὐκέτι ἔσται ἥλιος; ἀλλ' ἄτοπον εἰ μή, ὁ γὰρ ἥλιος οὐ-
σίαν τινὰ σημαίνει) ἀλλὰ καὶ ὅσα ἔτι ἐπ' ἄλλου ἐνδέχε-
ται, οἷον ἐὰν ἕτερος γένηται τοιοῦτος. [δῆλον ὅτι ἥλιος
ἔσται]. κοινὸς ἄρα ὁ λόγος· ἀλλ' ἦν τῶν καθ' ἕκαστα ὁ
ἥλιος ὥςπερ Κλέων ἢ Σωκράτης. — καίτοι † κἂν εἰ μὴ 69
ἑωράκειμεν τὰ ἄστρα, οὐθὲν ἂν ἧττον οἶμαι ἦσαν οὐσίαι
ἀΐδιοι παρ' ἃς ἡμεῖς ᾔδειμεν, ὥςτε καὶ νῦν, εἰ μὴ ἔχοι-

μεν τίνες εἰσίν, ἀλλ' εἶναί γέ τινας ἴσως ἀναγκαῖον. ἀλλ' οἱ τὰ εἴδη λέγοντες εἶναι τῇ μὲν ὀρθῶς λέγουσι χωρίζοντες αὐτά, εἴπερ οὐσίαι εἰσί, τῇ δ' οὐκ ὀρθῶς, ὅτι τὸ ἓν ἐπὶ πολλῶν εἶδος λέγουσιν. οὐθενὶ γὰρ ὑπάρχει ἡ οὐσία ἀλλ' ἢ αὐτῇ καὶ τῷ ἔχοντι αὐτὴν οὗ ἐστὶν οὐσία. ἔτι τὸ ἓν πολλαχῇ οὐκ ἂν εἴη ἅμα· τὸ δὲ κοινὸν ἅμα πολλαχῇ ὑπάρχει· ὥςτε δῆλον ὅτι οὐθὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ' ἕκαστα χωρίς. αἴτιον δ' ὅτι οὐκ ἔχουσιν ἀποδοῦναι τίνες αἱ τοιαῦται οὐσίαι αἱ ἄφθαρτοι παρὰ τὰς καθ' ἕκαστα καὶ αἰσθητάς. ποιοῦσι οὖν τοῖς αὐτοῖς † τὸ εἴδει φθαρτοῖς (ταῦτα γὰρ ἴσμεν) αὐτοάνθρωπον καὶ αὐτοΐππον, προςτιθέντες τοῖς αἰσθητοῖς τὸ ῥῆμα τὸ αὐτό. ὅτι μὲν οὖν οὔτε τῶν καθόλου λεγομένων οὐθὲν οὐσία, οὔτ' ἐστὶν οὐσία οὐδεμία ἐξ οὐσιῶν, δῆλον.

BEMERKUNGEN.

1 — 6. Umstellungen an folgenden Stellen der Brandis'schen Ausgabe: 129, 19; 128, 23; 129, 28. — *τοδὶ ὂν* für *τὶ ὂν*. Analyt. post 90 a 10. Die Annahme, dass im Buche *Z* eine Verwirrung in den kleinsten Theilen vorhanden sei, stützt sich vorzugsweise auf Nr. 20, 56, 50; 49 und 50.

7. Die Wesenheit wird zuerst nach physikalischem Gesichtspuncte aufgefasst; die andere Eintheilung geht von allgemeinen Denkbestimmungen aus. Siehe Nr. 8.

8. Das *ὑποκείμενον* zerfällt in zwei Arten: das *ὑπ. ὡς τόδε τι ὂν* (*ἄνθρωπος τοῖς πάθεσι*) und das *ὑπ. ὡς ὕλη* (*σῶμα τῇ ψυχῇ*). — *ἐκείνινον*] Wenn Bildung an einen Gegenstand herantritt, so wird er nicht Bildung sondern gebildet genannt, gleichwie wir, um etwas nach seinem Stoffe zu bezeichnen, uns der abgeleiteten Formen auf ern bedienen, oder es, um so zu sagen, ein diesernes oder jenernes nennen. — Der Absatz 8 steht bei Br. 184, 18. Für eine vorhandene Lücke spricht 53 (155, 13). Diese gab den Anlass zu einer Umstellung 130, 20. Der alte Text ist unlogisch, da *μορφή* = *τί ἦν εἶναι*.

10. Umstellungen 131, 11.

11. Hinter 11 ist ein fremder Bestandtheil von 11 Zeilen 131, 26, ausgestossen. Siehe Bonitz.

12. Das *τί ἦν εἶναι* (die Grundwesensbestimmtheit) eines Gegenstandes ist ein solches, als was derselbe an und für sich kund gegeben wird. — *ὥστε* 133, 21]. „Wäre Oberfläche sein dieses, eine weisse Oberfläche sein, so wäre jenes mit demselben Rechte, eine glatte Oberfläche sein. Dann aber wäre u. s. w“. Der überlieferte Text giebt schwerlich einen Sinn.

13, *ὅπερ* 133, 11]. Siehe 14. — *ἀκριβ.* 133, 26]. *ἀκρι-*

βέστερος kann doch wohl nur der *ὁρισμός* sein. Im Uebrigen siehe 17.

14. „Man kann eigentlich nicht fragen, ob eine Qualität sei, sondern nur, ob etwas so beschaffen sei, wie wir auch vom Nichtseienden sagen, es sei, nämlich ein Nichtseiendes“ (cf. 61, 13; 216, 25; 229, 29). Die Lesart *τί* für *εἰ* (134, 6 ff.) giebt keinen Sinn. — *ἀλλὰ* 134, 14]. „Demgemäss kann man in Rücksicht auf eine Qualität auch nur fragen: Worin besteht es, dass etwas so oder so beschaffen ist?“ Dieser Stelle entsprechend habe ich in 13 (133, 11) *ὅπερ τῷδε τί ἦν εἶναι* vermuthet. Vielleicht *ὅπερ τῷδέ τινι εἶναι*. 71, 18.

15. *ἐκ προσθέσεως*: der weisse Mensch ist; *ἐξ ἀφαιρέσεως*: das Weisse ist. Cf. 263, 5. — *ἐπιστήμην* für *ἐπιστητόν* 134, 17 in Rücksicht auf das folgende *πρὸς ἕν*. Cf. 205, 22. Vielleicht ist dieser Satz hinter *ὡσαύτως* zu stellen.

16 und 17 stehen nach der Ueberlieferung zwischen 12 und 13 von 132, 23 — 133, 24. Von 133, 11 ab sind Sätze verschiedener Abschnitte gemengt. Siehe 57 und 58. — *λεγομένων* 133, 2] „Sage ich, der weisse Mensch ist etwas Weisses, so habe ich nicht an und für sich kund gegeben, d. h. nicht definirt“. Anders *καθ' αὑτὸ λεγ.* in 23 (137, 2).

17. *ἆρα* 133, 11) „Giebt es hier ein ein *τί ἦν εἶναι* oder nicht? Ich meine jedoch nicht, ob es ein *τί ἦν λευκῷ εἶναι* gebe, sondern u. s. w.“. Dem Satze 133, 9: *τὸ δὴ λευκὸς* etc. widerspricht geradezu 136, 22: *λευκὸς ἄνθρωπος ἕτερον καὶ τὸ λευκῷ ἀνθρώπῳ εἶναι*. Ich habe daher diesen Satz getrennt und die Bruchstücke an die richtige Stelle gesetzt. — *ὁρισμὸς* 133, 15]. Anal. post. 92, 631. Es wird darauf hingewiesen, dass die Bestandtheile einer Definition eine untrennbare Einheit (*ἄτομον τὸ εἶδος* 144, 2) bilden müssen, wie *ζῷον δίπουν*. Siehe 57 und 58. — *εἰδῶν* 133, 22]. Cf. 209, 22. — *προσθέσεως* 135, 5] Man definirt *ἐκ πρ.*, wenn man sagt: Weiss ist die Farbe, die wir am Schnee sehen. Cf. 133, 4. Umstellung. An. post. 84a 13.

21 Rekapitulation des Früheren und darum für die Beurtheilung des Textes von besonderer Wichtigkeit, weil sich hier die Krankheit mit voller Sicherheit nachweisen lässt (136).

23 folgt in den Hdsch. auf 26 (138, 3). Grosse Verwirrung. Der jetzige Zusammenhang ist: Da *ἀνθρώπῳ εἶναι* und *λευκῷ ἀνθρώπῳ εἶναι* nicht an und für sich identisch sein können, so fragt sich, ob sie *κατὰ τὴν ἔκθεσιν* identisch werden können wie *λευκὸν* und *μουσικόν* (nicht *λευκῷ εἶναι* 137, 1).

Unter *ἐκθ.* ist folgender Schluss zu verstehen: *ἄνθρωπος* = *λευκόν*; *ἄνθρ.* = *μουσικόν*. Cf. Waitz ad Ar. org. 28b 12. Dem Satze 138, 10: *τῷ πάθει δὲ τὸ αὐτό* widerspricht geradezu 153, 3: *οὐδὲ κατὰ συμβεβηκὸς ἕν*.

24. *ζῷον καὶ τὸ ζῴῳ* (137, 6) sind unmöglich ächt. Siehe 26.

26. *μέθεξιν* 137, 26]. Cf. 29, 10; 267, 26. — *ἐπίστασθαι*]. Hier ist wohl ein Stück verloren gegangen. Es heisst 153, 2: *ὅσα συνειλημμένα τῇ ὕλῃ οὐ ταὐτό*. Cf. 168, 23; de anim. ed. Trend. 89, 15. Dafür fehlt hier der Nachweis. Ferner wurde wohl die Frage aufgeworfen, ob *ἵππος* und *τὸ ἵππῳ εἶναι* dasselbe seien. Die Entscheidung ist: Pferd bedeutet sowohl das *σύνολον* als das *εἶδος*. Cf. 168, 11. Deshalb ist auch von mir die Stelle 137, 6 in 24 angefochten, weil *ζῷον* zunächst ein *σύνολον*.

28. Die Absätze 28—37, die theils hinter 52 (154, 1), theils, und zwar von 32 ab, ganz zu Ende des Buches *Z* (162, 7) stehen, scheinen hier ihre richtige Stelle zu haben. Dagegen ist wohl mit Recht der über das Werden handelnde Abschnitt 139—145 herausgewiesen. — *διαφοραῖς* 154, 28] Im Folgenden Verwirrung bis 155, 12. — *τάξις* 155, 12] Anal. post. 97a 25: *καὶ ταῦτα τάξαι τί πρῶτον ἢ δεύτερον*.

33 steht in den Hdsch. hinter 34 (162, 29). Grosse Verwirrung im Einzelnen. Für die jetzige Anordnung 44, 5—20. — *ἄλλων* und *διὰ τί* 163, 8 und 9] Conjecturen.

35. Die Worte *καὶ διὰ τί* bis *ἐπ' ἐνίων δὲ* finden sich ganz an falscher Stelle 163, 1 und 163, 2. Dagegen Trendelenburg hist. Beitr. zur Phil. Bd 1 pag. 42. Grosse Verwirrung von 163, 13—17. — *ἐπὶ δὲ* 163, 20] Conjectur.

36. *ἡ συλλαβή* für *τῆς συλλαβῆς* 163, 25. — *εἰς* 164, 4] Umstellung.

37. *στοιχεῖον* 164, 14] Umstellung. — *αἴτιον τοῦ εἶναι* ist dasselbe wie *τί ἦν εἶναι*. Cf. 167, 10; 169, 6; de anim. ed. Trend. 45, 7; 35, 20. — *οὐσία* 164, 13] Vergleiche 164, 13 mit 169, 15.

38. *Ἐπεὶ* 145, 23] Umstellung. Der alte Text vollkommen unsinnig.

39. *ὕστερα* 146, 7] Cf. 281, 28. *τῷ εἶναι ἄνευ ἀλλήλων* = *δυνάμει* 103, 29.

40. Die Absätze 40—45 giebt die Ueberlieferung in folgender Ordnung: 42, 40, 41, 45, 43, 44. Die Fugen sind 146, 19; 146, 30; 147, 20; 148, 3; 148, 26. Das Stück 146, 30—

147, 20 *καὶ γὰρ — τῇ ὕλῃ* erhält die richtige Anordnung, wenn man hinter *συνειλημμένου* 147, 8 einen Schnitt macht, und dann das vordere Stück hinter das nachfolgende setzt.

41. *καὶ* 146, 30] Der Kreis hat Materie; denn auch die Linie besteht aus ihren Hälften, wie der Mensch aus Fleich und Knochen. Cf. 168, 16; de anim. 90, 2.

44. *ἄνθρωπος*] Vergleiche 148, 22 mit 151, 25.

46. *τὸ* 148, 30] Umstellung. Ueber *κύκλῳ εἶναι* vergleiche 41. — *λόγῳ*] Zusammengeflickter Satz 148, 22; 149, 8.

47. *ἀπελθ.* 149, 6] Umstellung. Der Satz 149, 8: *ἀλλ' ἀεὶ λέγονται καὶ γνωρίζονται* bricht dem Gedanken die Spitze ab, da *καθόλου λόγος* = *ὁρισμός*. — *πρὸς* 149, 14] „Auf die Frage, ob der Rechte, der Kreis, das Thier früher seien oder die Theile, aus denen sie bestehen, hat man zu antworten: nicht schlechthin ein jeder Theil und auch nicht als ein jeder Theil z. B. als die im Begriff enthaltenen Theile. Denn wenn Thier sowohl Seele als auch Beseeltes bedeutet (168, 17), wenn Kreis auch das Kreissein und der Rechte die Wesenheit des Rechten bedeutet — was denn und im Vergleich womit soll man es später nennen? Als welcher Rechte denn später? Es giebt ja auch den in Erz geformten und den in diesen einzelnen Linien gezeichneten Rechten." Der alte Text ist augenscheinlich sehr verderbt.

48. *εἴρηται* 149, 27] Hinter 48 ist ein ziemlich bedeutender Abschnitt ausgewiesen. Seine letzten Sätze sind mit denen von 49 von 151, 2 ab gemengt. Zu 49 gehört der Satz 151, 2: *ὅτι μὲν — εἴρηται*. Zu streichen ist *ἐχόντων* 151, 13 und an *μερῶν πως* noch folgender Satz 151, 21 zu knüpfen: *τοῦ μὲν καθόλου κύκλου οὐκ ἔσται μέρη καθόλου ταῦτα ὥσπερ εἴρηται πρότερον*. Es bezieht sich dieser Satz zurück auf 151, 10: *ὥσπερ ἄνευ τοῦ χαλκοῦ τὸν κύκλον*. Die Worte *τῶν καθ' ἕκαστα* 151, 22 gehören hinter *Κορίσκος* 151, 26, oder sind fremder Zusatz.

49 und 50 (151, 1 — 152, 1) enthalten eine Rekapitulation des Vorangehenden und sind von diesem Gesichtspuncte aus herzustellen. Vor *διττόν* in 50 ist eine Lücke. — *ἡμικύκλια* 151, 17] Cf. 146, 24; 282, 11. — *τόδε τι* 151, 19] Cf. 164, 19; de anim. ed. Tr. 34, 2. Im alten Text werden unsinniger Weise *εἶδος* und *τόδε τι* entgegengesetzt.

50. Hinter 50 ist ein Absatz von 11 Zeilen von 152, 1 ab ausgewiesen.

51. *ὕλη* 152, 27] Umstellung. Statt *ὕλη* steht im alten

Text συνόλης vor ταύτης 152, 18. Dabei heisst es: μετὰ μὲν γὰρ τῆς ὕλης οὐκ ἔστιν. Dann aber tritt das Ganze in Widerspruch mit 147, 8, wo ausdrücklich gesagt wird, dass die Definition des συνειλημμένον die Materie enthalten müsse: τῶν δ' οὐ δεῖ ἐνεῖναι, ἂν μὴ ᾖ τοῦ συνειλημμένου. Auf die richtige Spur führt folgende Stelle der Physik II 2: οὔτ' ἄνευ τῆς ὕλης τὰ τοιαῦτα οὔτε κατὰ τὴν ὕλην. Cf. 167, 25; 122, 10.

55 steht in den Hdsch. hinter 62 oder ist vielmehr mit den Sätzen dieses Abschnitts bunt gemengt 157, 24. Wenn aber 156, 5 gesagt ist, das Allgemeine könne in zwei wesentlich verschiedenen Arten wie Thier in Pferd und Mensch (ich habe τῷδε καὶ τῷδε für τούτῳ δὲ conjicirt) nicht als τί ἦν εἶναι enthalten sein; so fragt sich, wie es darin enthalten sei, ob der Zahl nach als eines oder als ein verschiedenes. Eins kann es nicht sein, da es ja sonst ausser sich selbst sein müsste. „Wie soll es denn in solchen, die abgesondert von einander bestehen, eins sein und weshalb? Wird es nicht auch ausser seiner selbst alsdann sein?“ Man sieht, es ist hier nicht von der Idee die Rede, sondern von der Art, wie man sich die Gattung in den Arten zu denken habe. Das Thier ist aber in jedem anders bestimmt und ist an und für sich nur gleichsam ὕλη 208, 10. Dagegen Trendel. de ideis et num. pag. 24.

57 und 58, die in dem überlieferten Text vor 51 stehen (153, 6) sind von besonderer Wichtigkeit, da ihre Zusammengehörigkeit mit 59 und 60 über jeden Zweifel erhaben ist.

59. Dieser Absatz enthält die stärksten Gründe dafür, dass das Allgemeine Wesenheit sei. Die Definition ist allgemein und giebt die Wesenheit kund, wenn nun Wesenheit nur aus Wesenheit bestehen kann, so muss das Allgemeine Wesenheit sein (Aristoteles sucht diesem Schlusse 289, 1 auszuweichen). Dennoch sind die einzelnen Sätze von 59 bunt mit denen von 56 gemischt, die genau für das Gegentheil sprechen 156, 6—28. Auch die Herstellung von 56 scheint mir zweifellos zu sein.

62. Siehe 55. (157, 21—158, 13).

63. πρότερα 160, 1] Dieser Absatz findet sich hinter 67, wohin er offenbar nicht gehört. Man erwäge folgenden Zusammenhang: „Will jemand dich definiren, so wird er sagen, ein weisses oder mageres lebendiges Wesen, oder etwas anderes, was auch einem andern zukommt. Wollte aber jemand sagen, alles könne getrennt wohl vielen zukommen, zusammen aber bloss diesem, so muss man ihm entgegnen, dass es doch zweien zugleich zu-

komme z. B. das zweifüssige lebendige Wesen dem zweifüssigen und dem lebendigen.“ Der jetzige Zusammenhang ist folgender. Geht man von der Ideenlehre aus und setzt *ζῶον* und *δίπουν* als *χωριστά*, das will sagen als Einzelwesen; so wird die Definition überhaupt unmöglich. „Wie soll etwas dadurch begreiflich gemacht werden, dass man ihm Merkmale beilegt, die nur einem Einzelwesen zukommen?“ Das Erkennen hat ja das Allgemeine zu seinem Element. Dass *χωριστόν* das *καθ' ἕκαστων* in sich schliesse, zeigt 159, 22; 287, 1. — *ἀσυνϑ.* 160, 8] die eingeklammerten Worte gehören wohl kaum hierher.

64. *αὐτὸ* 158, 20] Umstellung. Diese Stelle, die an den *τρίτος ἄνϑρωπος* erinnert, ist wohl nur dadurch zu erklären, dass man zwischen 63 und 64 eine Lücke annimmt. Die mehrfachen Aenderungen im Folgenden scheint der Zusammenhang zu gebieten. „Wenn man annimmt, dass Mensch aus Thier sei, ohne dass dieses die Gattung von jenem ist, so muss man von jedem in einer bestimmten Art enthaltenen Thier eine Idee, ein *αὐτοζῷον* annehmen.“ Zu dem Vorhergehenden vergleiche noch 267. 11, 268, 5.

65. *τὴν δὲ* 159, 4] Cf. 142, 7: *τὸ δὲ χαλκῆν σφαῖραν εἶναι ποιεῖ.*

67. *ἀναγκαῖον*] Umst. von 159, 20—160, 7, Siehe 63. — *τὸ πρῶτον* 159, 30] Cf. Anal. post. 96a 36. „Die Definition eines Einzelwesens ist unmöglich, weil man einzelne von den bestimmenden Merkmalen hinwegdenken kann (*ἀναιρεῖν*), ohne dass der definirte Gegenstand, der dem Sein nach früher ist, dadurch aufgehoben wird.“ Beide Puncte werden noch einmal in 68 aufgenommen. Ueber *ἀναιρεῖν* 213, 21: *ἀρχὴ γὰρ τὸ συναναιροῦν.* Ueber *πρότερα τῷ εἶναι* 262, 27; 263, 8. Vielleicht sind hinter *πρῶτον* die eingeklammerten Worte aus 63 zu stellen. Analyt. post. am angeführten Orte.

68. *ἐπεὶ* 160, 23] Umst. Hinter 68 ist ein Stück ausgewiesen 160, 26—161, 17 bis *μηϑὲν οὐσία.* Die Fuge hinter *πάντ' ἔσται* 161, 7 ist bisher unbemerkt geblieben. Was *ἓν καὶ συνεχὲς φύσει* ist, ist sicher nicht *δυνάμει.*

69 und 70. *καίτοι* 162, 1] Umst. — *αὐτοῖς* 161, 27] Siehe Trendel. de id. et num. pag. 33.

Nachtrag. In 50 möchte zu lesen sein: *ὁ δ' ἄνϑρωπος καὶ τὸ ζῷον τὸ ἐξ ἀμφοῖν ὡς καϑόλου καὶ ἁπλῶς, εἰ δὲ ἡ ψυχὴ ἤδη καὶ τὸ σῶμα τοδί, Σωκράτης καὶ Κορίσκος οἱ τῶν καϑ' ἕκαστα.* Cf. 184, 14.

Druck von Carl Schultze in Berlin,
Kommandantenstrasse 72.

